Ρώμῃ πολλοὺς ἀπὸ τῶν προειρημένων αἱρετικῶν ἐπέστρεψεν ἐπὶ τὴν Ἐκκλησίαν τοῦ Θεοῦ· μίαν καὶ μόνην ταύτην ἀλήθειαν κηρύξας ὑπὸ τῶν Ἀποστόλων παρειληφέναι τὴν ὑπὸ τῆς Ἐκκλησίας παραδεδομένην».

Ὁ Εἰρηναῖος περὶ τοῦ Ἀποστολικοῦ Πατρὸς Παπίου λέγει·

«Ταῦτα δὲ καὶ Παπίας Ἰωάννου μὲν ἀκουστής, Πολυκάρπου δὲ ἑταῖρος γεγονώς, ἀρχαῖος ἀνὴρ ἐγγράφως ἐπιμαρτυρεῖ ἐν τῷ τετάρτῳ τῶν αὐτοῦ βιβλίων. Ἔστι γὰρ αὐτῷ πέντε βιβλία συντεταγμένα. Καὶ ὁ μὲν Εἰρηναῖος ταῦτα· αὐτός γε μὴν ὁ Παπίας (προστίθησιν ὁ Εὐσέβιος) κατὰ τὸ προοίμιον τῶν αὐτοῦ λόγων, ἀκροατὴν μὲν καὶ αὐτόπτην οὐδαμῶς γενέσθαι τῶν ἱερῶν Ἀποστόλων ἐμφαίνει, παρειληφέναι δὲ τὰ τῆς πίστεως παρὰ τῶν ἐκείνοις γνωρίμων διδάσκει, δι' ὧν φησὶ λέξεων· οὐκ ὀκνήσω δέ σοι καὶ ὅσα παρὰ τῶν πρεσβυτέρων καλῶς ἔμαθον, καὶ καλῶς ἐμνημόνευσα, συγκατατάξαι ταῖς ἑρμηνείαις διαβεβαιούμενος ὑπὲρ αὐτῶν ἀλήθειαν κτλ.» (Εὐσεβ. Γ' § λθ').

Καὶ Κλήμης ὁ Ἀλεξανδρεὺς ἐν Στρωματ. Ζ. ιζ' λέγει·

«Μία γὰρ ἡ πάντων γέγονε τῶν Ἀποστόλων ὥσπερ διδασκαλία, οὕτω δὲ καὶ ἡ παράδοσις».

Καὶ ἐν Στρωματ. Ζ. ιη' λέγει· «Τούτων ἡμῖν προδιηνυσμένων, καὶ τοῦ ἠθικοῦ τρόπου ὡς ἐν κεφαλαίῳ ὑπογραφέντος σποράδην, ὡς ὑπεσχήμεθα, καὶ διερριμένως τὰ ζώπυρα τῶν τῆς ἀληθοῦς γνώσεως ἐγκατασπειράντων δόγματα, ὡς μὴ ῥαδίων εἶναι τῷ περιτυχόντι τῶν ἀμυήτων τὴν τῶν ἁγίων παραδόσεων εὕρεσιν».

Καὶ ἡ Ζ' Οἰκουμενικὴ Σύνοδος ἐν τῇ Η' πράξει αὐτῆς ἀναθεματίζει τοὺς ἀθετοῦντας τὰς ἱερὰς παραδόσεις.

«Εἴ τις πᾶσαν παράδοσιν ἐκκλησιαστικὴν ἔγγραφον ἢ ἄγραφον ἀθετεῖ, ἀνάθεμα ἔστω» (ὅρα δαψιλεστάτη Συλλογὴ τῶν ἱερῶν συνόδων τομ. β' σελ. 883) καὶ ἐν τῇ ὁμολογίᾳ τοῦ Κριτοπούλου φέρονται τὰ ἑξῆς·

«Ἡ Ἁγία Γραφὴ ἐνεπιστεύθη τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ, καθάπερ μεγάλου θησαυροῦ παρακαταθήκη, ὡς δοκεῖν τὴν Ἐκκλησίαν φύλακα καὶ ὁδηγὸν εἶναι τῆς θεοπνεύστου Γραφῆς. Φύλακα μέν, ὅτι πιστῶς καὶ ἀδόλως ταύτην φυλάττει, οὐχ ὅπως αὕτη μηδὲν προστιθεῖσα ἢ ἀφαιροῦσα ἐκεῖθεν—τοῦτο γὰρ ἄντικρυς ἱεροσυλία—ἀλλὰ καὶ τοὺς τοιοῦτόν τι τολμῶντας ἐλέγχει καὶ καταφωρᾷ. Ὁδηγὸν δέ, ὅτι πρὸς ταύτην ἡμᾶς ὁδηγεῖ, τὰ ἀσαφῆ δοκοῦντα σαφηνίζουσα καὶ

ἀνακαλύπτουσα τὰ κεκαλυμμένα πάνυ ὀρθοδόξως καὶ θεαρέστως».

«Καὶ τοῦτό ἐστιν, οἶμαι τὸ στῦλον καὶ ἑδραίωμα τῆς ἀληθείας τὴν Ἐκκλησίαν καλεῖσθαι. Ἀλήθεια μὲν ἡ Ἁγία Γραφή, ὡς ἐκ τοῦ Θεοῦ τῆς αὐτοκαληθείας προαχθεῖσα. Στῦλος δὲ καὶ ἑδραίωμα ταύτης ἡ καθολικὴ καὶ Ἀποστολικὴ ἐκκλησία, ὡς ὑποστηρίζουσα καὶ διατηροῦσα καὶ ὀρθοδόξως ταύτην ἑρμηνεύουσα καὶ ταύτης μέχρι θανάτου ὑπερασπίζουσα».

«Ἄγραφον δὲ ῥῆμα Θεοῦ λέγεται αἱ τῆς Ἐκκλησίας παραδόσεις, ἃς τὸ Πνεῦμα τὸ Ἅγιον ἀγράφως καὶ μυστικῶς ταύτῃ παρέδωκε· Θεωροῦνται δὲ αἱ παραδόσεις περί τε τὰς τελετὰς τῶν ἁγίων μυστηρίων καὶ περὶ ἄλλα χρήσιμα καὶ τὴν Ἐκκλησίαν κοσμοῦντα».

«Ἡ μὲν γὰρ Ἁγία Γραφὴ προστακτικῶς ἡμῖν ἐπιτάττει τὰ μυστήρια· πῶς δὲ καὶ τίνι τρόπῳ ταῦτα ἱερουργητέον, οὐ λέγει. Ἡ Ἐκκλησία δὲ ἐξ Ἁγίου Πνεύματος κινουμένη τὸν τρόπον διατάττει, τὰ πολλὰ μέντοι ἐκ τῆς Ἁγίας Γραφῆς συλλέγουσα». (Ὁμολογία Κριτοπούλου κεφ. ζ')».

Ἡ ἡμετέρα Ἐκκλησία ἀπὸ τῆς ἱερᾶς ταύτης διδαχθεῖσα παραδόσεως μακρὰν τοῦ νὰ νομίζῃ τὰ ἑαυτῆς τέκνα καθαρὰ ἀπὸ παντὸς ῥύπου, εἰδυῖα τὴν ἀνθρωπίνην ἀσθένειαν, οὐ γάρ ἐστιν ἄνθρωπος, ὃς ζήσεται καὶ οὐχ ἁμαρτήσει, εὔχεται, παρακαλεῖ, καθικετεύει τὸν φιλάνθρωπον Θεὸν ὑπὲρ τῶν κοιμηθέντων τέκνων αὐτῆς, θεωρεῖ δὲ τὰ μνημόσυνα ὡς ἀναπόφευκτον ὑποχρέωσιν τῶν ζώντων πρὸς τοὺς κεκοιμημένους· διὸ οὐ μόνον δι' ἕνα ἕκαστον ἐπιτελεῖ μνημόσυνα, ἀλλὰ καὶ δύο γενικὰ ἐνιαύσια μνημόσυνα περί τε τῶν ἐν ξένῃ γῇ ἀποθανόντων, καὶ περὶ τῶν μὴ τῶν νενομισμένων τυχόντων. Οἱ ἀπὸ καιροῦ εἰς καιρὸν παρουσιαζόμενοι Εὐαγγελισταὶ αὐτεπάγγελτοι, διδάσκαλοι τοῦ ἀληθοῦς δῆθεν Χριστιανικοῦ πνεύματος, ἃς φροντίσωσι πρότερον νὰ συμβουλευθῶσι τοὺς μεγάλους θεολόγους τοῦ ἔθνους των, ὅπως γνωρίσωσι τί οὗτοι φρονοῦσι περὶ τῆς Ἑλληνικῆς Ἐκκλησίας, καὶ ἔπειτα ἃς λαμβάνωσι τὸν λόγον. Ἐπειδὴ ὅμως οὗτοι περὶ τούτου ἠμέλησαν, ἡμεῖς προσάγομεν ἐνταῦθα τὰς γνώμας δύο σπουδαίων θεολόγων Διαμαρτυρομένων καὶ ἑτέρου τινος σοφωτάτου θεολόγου τῆς Ἐκκλησίας τῶν Παλαιοκαθολικῶν πρὸς διδασκαλίαν των.

Ὁ ἀξιοσέβαστος Νήλ, ἄγγλος τὴν πατρίδα, διάσημος δὲ θεολόγος τῆς Ἐκκλησίας τῶν Διαμαρτυρομένων, ἐπιστήμων καὶ φιλαλήθης

ἀναγνωρίζει τὴν ἀρχαιότητα καὶ ὀρθότητα τῶν δογμάτων τῆς Ἀνατολικῆς Ἐκκλησίας ἀποφαινόμενος οὕτωσίν· «ἡ Ἐκκλησία ὀφείλει νὰ διαμείνῃ ἀκλόνητος ἐν ταῖς ἀρχαῖς αὐτῆς, ἡ δὲ Ἀνατολικὴ Ἐκκλησία ἔμεινε στερρὰ οὐ μόνον ἐν ταῖς ἀρχαῖς, ἀλλὰ δὴ καὶ ἐν τῷ ὁποίῳ ἔλαβεν ἐν τῇ ἀρχαιότητι τύπῳ· ἕνεκα δὲ τῆς ἐν τῇ ὁμολογίᾳ τῆς πίστεως σταθερότητός της προσεκτήσατο τὸ εὐκλεὲς ὄνομα τῆς Ὀρθοδόξου» (Ὅρα ἀριθ. 37 τῆς Τεργεσταίας ἐφημερίδος Κλειοῦς).

Ὁ δὲ σοφὸς καὶ δεινὸς Θεολόγος Στράους καθηγητὴς τῆς Ὁμιλητικῆς ἐν τῷ Πανεπιστημίῳ τοῦ Βερολίνου ἐνώπιον τῆς ὁμηγύρεως τῶν φοιτητῶν λαβὼν ἀφορμὴν ἐκ τῆς ὁμιλίας τοῦ ἀοιδίμου Ἀλεξάνδρου Λυκούργου σπουδαστοῦ τότε ἐν Γερμανίᾳ ἔλεγε τάδε. «Ἡ Ἑλληνικὴ Ἐκκλησία εἶναι ἡ Ἐκκλησία τῶν πρώτων ὀκτὼ αἰώνων τοῦ Χριστιανισμοῦ· αὕτη καὶ νῦν ἐστιν ἡ Ἐκκλησία τῶν ἑπτὰ Οἰκουμενικῶν Συνόδων. Ἡ ἀνάπτυξις αὐτῆς ἔστη ἀπὸ τῆς ἑβδόμης Οἰκουμενικῆς Συνόδου. Ἑπομένως αὕτη ἐστὶν ὁ μόνος τύπος τῆς ἀρχαίας διδασκαλίας καὶ τῶν ἀρχαίων ἐθίμων. Ὅλα τὰ θεῖα στοιχεῖα τοῦ Χριστιανισμοῦ ἀνεπτύχθησαν ἐν τῇ Ἑλληνικῇ Ἐκκλησίᾳ, ἥτις ἐστὶν Ἐκκλησία τῶν πρώτων ὀκτὼ αἰώνων τοῦ Χριστιανισμοῦ. Ἡ Ρωμαϊκὴ Ἐκκλησία ἐξῆλθεν εἰς τὴν σκηνὴν καὶ προυχώρησε μετὰ τὴν ἐποχὴν ταύτην, ἀφοῦ ἡ Ἑλληνικὴ Ἐκκλησία ἔστη ἐν τῇ ὁδῷ, εἰς ἣν προυχώρησε πρὸ πάσης ἄλλης Ἐκκλησίας κατὰ τὰς ὑπὸ τοῦ Κυρίου Λυκούργου σαφηνισθείσας αἰτίας. Ἀλλ' ἡ Ρωμαϊκὴ Ἐκκλησία ἐν τῇ κινήσει αὐτῆς πρὸς τὰ πρόσω οὐδὲν ἔπραξεν ὡς πρὸς τὰ θεῖα στοιχεῖα τοῦ Χριστιανισμοῦ, ἀλλὰ καὶ δὲν ἠδύνατο νὰ πράξῃ τι κατὰ τοῦτο· διότι ἡ Ἑλληνικὴ Ἐκκλησία ἅπαντα ἔπραξεν. Αὕτη ἐπεξειργάσθη τὰς βάσεις τῆς Χριστιανικῆς γνώσεως· εἰς δὲ τὴν Ρωμαϊκὴν ἔμεινε νὰ οἰκοδομήσῃ μόνον ἐπ' αὐτῶν. Ἀλλ' ἡ Ρωμαϊκὴ Ἐκκλησία δὲν ἔμεινε πιστὴ εἰς ταύτας τὰς βάσεις· αὕτη ἀφῆκε ταύτας καὶ ἐβάδισε δι' ἄλλης ὁδοῦ, ἤρχισε νὰ ἀναπτύσσῃ μόνον τὸ ἀνθρώπινον ἐν τῷ Χριστιανισμῷ οὕτως, ὥστε πᾶν τὸ ἐν τῷ Χριστιανισμῷ θεῖον ὀφείλεται εἰς τὴν ἀνάπτυξιν τῆς Ἑλλ. Ἐκκλησίας, πᾶν δὲ ἀνθρώπινον, εἰς τὴν τῆς Ρωμαϊκῆς. Καὶ παρατηρήσατε πόσον μετὰ ζήλου τηρεῖ ἡ Ἑλληνικὴ Ἐκκλησία τὴν ἀρχαίαν κληρονομίαν τῆς Χριστιανικῆς Ἐκκλησίας. Τῇ Κυριακῇ τῆς Ὀρθοδοξίας προκαφωνεῖ τὰ χριστιανικὰ δόγματα φυλαττόμενα ὑπ' αὐτῆς χίλια ἔτη. Ἡ πανήγυρις αὕτη ἐτελέσθη χθὲς 9)21 Φεβρουαρίου. Καὶ ἐν ᾧ ἡ Ἑλλ. Ἐκκλησία

φυλάττουσα τὸν Χριστιανισμὸν τῶν πρώτων ὀκτὼ αἰώνων ἔχυσε ποταμοὺς αἵματος ὑπὲρ τῆς πίστεως ταύτης, ἡ Ρωμαϊκὴ Ἐκκλησία τόσον ἀπεμακρύνθη βαδίζουσα τὴν ἀνθρωπίνην ὁδόν, ὥστε αἱ καταχρήσεις αὐτῆς προυκάλεσαν ἐπὶ τέλους τὴν ἀντίκρουσιν τῶν ἡμετέρων μεταρρυθμιστῶν, ἥτις ἀπέσχισεν ἀπ' αὐτῆς 40 ἑκατομμύρια Χριστιανῶν· ἀλλὰ καὶ ἡ μεταρρύθμισις δὲν ἔπραξέ τι ἰδιαίτερον σχετικῶς πρὸς τὸν Χριστιανισμόν, ὅπερ δὲν ὑπῆρξεν ἐν τῇ Ἑλλην. Ἐκκλησίᾳ. Οἱ μεταρρυθμισταὶ ἐπανέστησαν μόνον κατὰ τῆς ἀναπτύξεως τῶν ἀνθρωπίνων στοιχείων, τὴν ὁποίαν κατήντησεν ἡ Ρώμη μέχρις ἐσχάτης καταχρήσεως. Οὗτοι ἀνέκαμψαν εἰς τὴν ἀνάπτυξιν τῆς χριστιανικῆς διδασκαλίας, εἰς τὴν ἀρχαιότητα, ἑπομένως εἰς τὸν Χριστιανισμὸν τῶν ὀκτὼ πρώτων αἰώνων, καὶ ὅ,τι ἐπιχειρήσωμεν ὡς πρὸς τὴν ἀνόρθωσιν τῆς διαφθαρείσης ὑπὸ τῆς Ρώμης ἀρχαιότητος τοῦ Χριστιανισμοῦ, ἡμεῖς δὲν δυνάμεθα νὰ ἐξέλθωμεν τοῦ κύκλου, ὃν διέγραψεν ἡ Ἑλληνικὴ Ἐκκλησία. Ἡμῖν λείπεται ὁπωσδήποτε νὰ στρεφώμεθα πρὸς τοῦτον τὸν κύκλον καὶ νὰ πλησιάζωμεν πρὸς τὴν Ἑλληνικὴν Ἐκκλησίαν» (Ἱερομνήμων περίοδος Α΄. Τεῦχος Ε΄, ΣΤ΄ καὶ Ζ΄ σελ. 185—186). Ἐπίσης καὶ ὁ σοφὸς Δέλιγγερ ἐν τῷ συγγράμματι αὐτοῦ Ueber die Vereinigung der Kirchen λέγει. «Ἡ ἀνατολικὴ Ἐκκλησία στηριζομένη ἐπὶ τῆς παραδόσεως αὐτῆς καὶ τῆς ἀρχαίας αὐτῆς πλουσίας φιλολογίας, στερρῶς ἐχομένη παντὸς ὅ,τι κατὰ τοὺς χρόνους τῶν μεγάλων θεολογικῶν κινήσεων καὶ διαμορφώσεων τοῦ Δ΄ καὶ Ε΄ αἰῶνος εἶχεν ἀναπτυχθῇ, ἐξηναγκάζετο ὑπὸ τῆς Ρώμης νὰ ἀναγνωρίσῃ νῦν καὶ ὑπαχθῇ ὑπὸ μοναρχικὸν τύπον ἐκκλησιαστικῆς διοικήσεως» . . . . . .

. . . . . .

«Ἡ ἀνατολικὴ Ἐκκλησία εἶναι σεβαστὴ διὰ τὴν ἀρχαιότητα αὐτῆς, τὸ ἀδιάκοπον τῆς διαδοχῆς τῶν Ἐπισκόπων αὐτῆς καὶ τὸ ἀμετάβλητον αὐτῆς».

«Ἡ ἀνατολικὴ Ἐκκλησία εἶναι ὁποία ἦτο πρὸ τοῦ σχίσματος, ἡ δὲ θεολογία αὐτῆς εἶναι ἡ τῶν Πατέρων καὶ τῆς ἀρχαίας παραδόσεως, στηριζομένη ἐπὶ τῶν συγγραμμάτων τῶν Ἐκκλησιαστικῶν θεολόγων τῶν 7 πρώτων αἰώνων. (Ἐκκλ. Ἱστορ. Α΄. Δ. Κυριακοῦ, Τόμ. Βος σελ. 31—32 ἔκδ. 1898). Βεβαίως, ἐὰν ἐγνώριζον ταύτας τὰς γνώμας τῶν σοφῶν καθηγητῶν, οἵτινες δὲν εἶνε μόνοι, οὔτε εὐάριθμοι, οἱ ἀναφκινόμενοι ἑκάστοτε σοφοὶ Εὐαγγελι-

σται δὲν θὰ ἐτόλμων νὰ διδάξωσι τὴν θρησκείαν τοῦ Χριστιανισμοῦ εἰς Ἕλληνας! Ἀλλ' ἱκανὰ ἔστω ταῦτα πρὸς αὐτούς, ἐπανέλθωμεν δὲ ἐπὶ τὸ προκείμενον.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

ΠΕΡΙ ΤΩΝ ΕΤΗΣΙΩΝ ΙΕΡΩΝ ΜΝΗΜΟΣΥΝΩΝ ΤΩΝ ΤΕΛΟΥΜΕΝΩΝ ΥΠΟ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ

Ἡ Ἐκκλησία τελεῖ ἐτήσια μνημόσυνα ὑπὲρ τῶν τέκνων αὐτῆς τῶν μὴ τυχόντων τῶν νενομισμένων, καὶ στερηθέντων τῆς ἐκ τούτων ὠφελείας διὰ τὸ ἀποθανεῖν αὐτὰ εἴτε ἐν ξένῃ γῇ, εἴτ' ἐν θαλάσσῃ, εἴτ' ἐν ἐρήμῳ. Ὧδε ἐκτίθενται οἱ λόγοι οἱ ἐν τῷ Τριῳδίῳ, δι' οὓς ἡ Ἐκκλησία τελεῖ τὸ ὑπὲρ τῶν κεκοιμημένων μνημόσυνον τῷ Σαββάτῳ τῷ πρὸ τῆς ἀπόκρεως, ὅπερ καὶ πρῶτον λέγεται, (κοινῶς ψυχοσάββατον).

§ α'. Περὶ τοῦ πρώτου ψυχοσαββάτου. Ὑπόμνημα περὶ τοῦ πρώτου ἐτησίου μνημοσύνου.

«Τῇ αὐτῇ ἡμέρᾳ μνείαν ποιεῖσθαι τῶν ἀπ' αἰῶνος κοιμηθέντων »εὐσεβῶς ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου οἱ θειότατοι Πατέρες »ἐθέσπισαν».

«Ἀμνημόνησον πταισμάτων νεκροῖς, Λόγε,
Τὰ Χρηστὰ νεκρὰ σπλάγχνα σου μὴ δεικνύων».

«Ἐπειδή τινες ἄωρον πολλάκις ἐπὶ ξένης ὑπέστησαν θάνατον ἐν θαλάσσῃ τε καὶ ἀβάτοις ὄρεσι, κρημνοῖς τε καὶ χάσμασι, καὶ λοιμοῖς, καὶ λιμοῖς, καὶ πολέμοις καὶ ἐμπρησμοῖς, καὶ κρυμοῖς, καὶ ἄλλους παντοίους θανάτους ὑπομεμενηκότες ἴσως δὲ καὶ πένητες ὄντες καὶ ἄποροι καὶ τῶν νενομισμένων ψαλμῳδιῶν καὶ μνημοσύνων οὐκ ἔτυχον, φιλανθρώπως οἱ θεῖοι Πατέρες κινούμενοι κοινῶς τούτων μνείαν ἁπάντων τὴν καθολικὴν Ἐκκλησίαν ποιεῖσθαι ἐθέσπισαν, ἀπὸ τῶν Ἱερῶν Ἀποστόλων διαδεξάμενοι, ἵνα καὶ οἱ τῶν νενομισμένων ἀνὰ μέρος διά τινος συμβάντος μὴ τετυχηκότες, τῇ νῦν κοινῇ μνείᾳ κἀκεῖνοι περιλαμβάνοιντο δεικνύντες ὡς καὶ τὰ ὑπὲρ αὐτῶν γινόμενα μεγάλην αὐτοῖς προξενεῖ τὴν ὠφέλειαν. Καθ' ἕνα μὲν οὖν τρόπον οὕτως ἡ τοῦ

Θεοῦ Ἐκκλησία μνείαν ἐπιτελεῖ τῶν ψυχῶν· δεύτερον δέ, ἐπειδὴ τὴν δευτέραν τοῦ Χριστοῦ παρουσίαν θεῖναι τῇ ἐπικύριον ἔμελλον, ἁρμοζόντως καὶ τῶν ψυχῶν μνημονεύουσιν. Ὡσανεὶ τὸν φοβερὸν Κριτὴν καὶ ἀπαραλόγιστον ἱλεούμενοι τῇ συνήθει πρὸς αὐτὰς χρήσασθαι συμπαθείᾳ, καὶ τῇ ἐπηγγελμένῃ ταύτας κατατάξαι τρυφῇ. Ἄλλως τε καὶ τὴν τοῦ Ἀδὰμ ἐξορίαν οἱ ἅγιοι μέλλοντες τῇ ἐσομένῃ ἐκθεῖναι Κυριακῇ, ὥσπερ τινὰ κατάπαυσιν προσεπινοοῦσι, καὶ τέλος πάντων τῶν καθ' ἡμᾶς διὰ τῆς παρούσης νῦν κατα παύσεως, ἵνα ἐκεῖθεν ὡς ἀπ' ἀρχῆς ἄρξωνται· τὸ γὰρ ὕστατον τῶν παρ' ἡμῖν πάντων, ἡ τῶν βεβιωμένων παρὰ τοῦ ἀδεκάστου Κριτοῦ ἔσται ἐξέτασις, καὶ ἵνα τοὺς ἀνθρώπους διὰ τούτων φοβήσαντες, πρὸς τοὺς τῆς νηστείας ἀγῶνας ποιήσωσιν εὐχερεῖς. Ἐν Σαββάτῳ δὲ τὴν τῶν ψυχῶν μνείαν ποιούμεθα, ὅτι τὸ Σάββατον κατάπαυσιν σημαίνει Ἑβραϊστί[1]· καὶ

---

[1] Ἀλλὰ τὸ Σάββατον καὶ τὸ ὄνομα αὐτοῦ ἱστορικὴν ἁπλῶς παρ' ἡμῖν ἔχει σημασίαν, οὐχὶ δὲ καὶ δογματικήν· ἡ σημασία τῆς λέξεως οὐδένα ἔχει λόγον πρὸς τὴν ἕκτην ἡμέραν τῆς Χριστιανικῆς ἑβδομάδος· διὸ δι' ἀφῃρημένην ἔννοιαν ὀνομασίας ἡμέρας τινὸς οὐδέποτε οἱ Ἅγιοι Πατέρες θὰ ὥριζον τὴν τέλεσιν τῶν μνημοσύνων ἐν αὐτῇ. Πλὴν τούτου ὑποδηλοῦται τὸ Σάββατον ὡς ἡμέρα γενικῆς καταπαύσεως, ἐνῷ Σάββατον, ἡμέραν καταπαύσεως, ἡμεῖς ἔχομεν τὴν Κυριακήν. Ἐὰν λοιπὸν διὰ τὴν κατάπαυσιν ὡρίσθη ἡ ἡμέρα τοῦ Σαββάτου ὡς ἡμέρα τῶν ἱερῶν Μνημοσύνων, πολὺ προτιμοτέρα θὰ ἦτο ἡ Κυριακή, διότι τὸ μὲν Σάββατον φέρει μόνον τὴν κλῆσιν διὰ τοὺς Χριστιανούς, ἡ δὲ Κυριακὴ τὴν πραγματικὴν τῆς λέξεως σημασίαν, ἥτις Ἑβραϊστὶ καὶ Σάββατον θὰ ἐκαλεῖτο, ὡς ἐκαλοῦντο πᾶσαι αἱ ἑορταὶ τῶν Ἰουδαίων. Πλὴν οὐχὶ τὴν καταπαύσιμον τῆς Κυριακῆς ἡμέραν οἱ Ἅγιοι Πατέρες ἐθέσπισαν διὰ τὰ ἱερὰ Μνημόσυνα· ἀλλὰ τὸ Σάββατον· ἤτοι οὐχὶ τὴν πρώτην ἡμέραν τῆς ἑβδομάδος τῆς ἀναγεννήσεως τοῦ ἀνθρώπου, ἀλλὰ τὴν Ἑβδόμην, ἤτοι τὴν ἡμέραν τῆς τελευτῆς αὐτοῦ· διότι ἡ Ἑβδόμη ἡμέρα τῆς δημιουργίας εἶδε τὸν θάνατον τοῦ ἀνθρώπου, ἥτις ἐξακολουθεῖ, καὶ ἐν ᾗ πάντες ἀποθνήσκομεν· διὸ καὶ σοφώτατα οἱ θεῖοι πατέρες τὸ Σάββατον, ἤτοι τὴν ἡμέραν τοῦ θανάτου ἐθέσπισαν γίγνεσθαι τὰ Μνημόσυνα καὶ οὐχὶ τὴν Κυριακὴν τὴν τῆς Ἀναστάσεως ἡμέραν, ἥτις σύμβολον εἶναι τῆς ἀναστάσεως τῶν νεκρῶν κατὰ τὴν δευτέραν παρουσίαν καὶ εἰκὼν τοῦ προσδοκωμένου αἰῶνος μία οὖσα καὶ ὀγδόη, ὡς ὁ Ζωναρᾶς λέγει· «Τοῦ προσδοκωμένου αἰῶνος εἰκών ἐστιν ἡ Κυριακή, καὶ αὐτὴ μία οὖσα »καὶ ὀγδόη, ὡς παρὰ τοῦ Μωσέως ἐν τῇ κοσμογονίᾳ, μία καὶ οὐχὶ πρώτη ὀνο»μασθεῖσα, καὶ τὴν μίαν ὄντως ἐκείνην καὶ ἀληθινὴν ὀγδόην τυποῦσα τὴν ἀνέ»σπερον ἡμέραν, τὸν ἄληκτον ἐκεῖνον αἰῶνα τὸν μέλλοντα» (Ζωναρᾶς περὶ τοῦ μὴ κλίνειν γόνυ ἐν Κυριακῇ Σύνταγμ. ἱερ. Καν. Τόμ. Β'. Σελ. 162. Κανὼν Κ').

τῶν τεθνεώτων τοίνυν, ὡς τῶν βιωτικῶν καὶ τῶν λοιπῶν ἁπάντων καταπαυσαμένων, κἂν τῇ καταπαυσίμῳ τῶν ἡμερῶν τὰς ὑπὲρ αὐτῶν δεήσεις ποιούμεθα, ὃ δὴ καὶ ἐπὶ πᾶν κεκράτηκε γίνεσθαι Σάββατον. Τὸ δέ γε νῦν καθολικῶς μνημονεύομεν ὑπὲρ παντὸς δεόμενοι εὐσεβοῦς· εἰδότες καὶ γὰρ οἱ Θεῖοι Πατέρες, ὡς τὰ ὑπὲρ τῶν Κεκοιμημένων γινόμενα Μνημόσυνα, λέγω ἐλεημοσύναι καὶ λειτουργίαι, καὶ ἰδίως καὶ κοινῇ τὴν Ἐκκλησίαν τοῦτο ποιεῖν ἐπιτρέπουσι, παρὰ τῶν Ἁγίων Ἀποστόλων τοῦτο παραλαβόντες, ὡς εἴρηται, καθ' ἃ καὶ ὁ Ἀρεοπαγίτης φησὶ Διονύσιος».

Ἐν τῷ Η'. Βιβλίῳ τῶν Ἀποστολικῶν διαταγῶν ἐν κεφαλαίῳ μα'. ὑπάρχει προσφώνησις ὑπὲρ τῶν κεκοιμημένων ἔχουσα ὧδε:

«Ὑπὲρ τοῦ ἀναπαυσαμένου ἐν Χριστῷ ἀδελφοῦ ἡμῶν δεηθῶμεν· ὅπως ὁ φιλάνθρωπος Θεός, ὁ προσδεξάμενος αὐτοῦ τὴν ψυχήν, παρίδῃ αὐτῷ πᾶν ἁμάρτημα ἑκούσιόν τε καὶ ἀκούσιον· καὶ ἵλεως καὶ εὐμενὴς γενόμενος, κατατάξῃ εἰς χώραν εὐσεβῶν ἀνειμένων εἰς κόλπον Ἀβραάμ, καὶ Ἰσαάκ, καὶ Ἰακὼβ μετὰ πάντων τῶν ἀπ' αἰῶνος εὐαρεστησάντων καὶ ποιησάντων τὸ θέλημα αὐτοῦ· Ὅθεν ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός».

Καὶ αὖθις· «Αὐτὸς καὶ νῦν ἔπιδε ἐπὶ τὸν δοῦλόν σου τόν δε, ὃν ἐξελέξω καὶ προσελάβου εἰς ἑτέραν λῆξιν καὶ συγχώρησον αὐτῷ εἴ τι ἑκὼν ἢ ἄκων ἐξήμαρτε καὶ Ἀγγέλους εὐμενεῖς παράστησον αὐτῷ καὶ κατάταξον αὐτὸν ἐν τῷ κόλπῳ τῶν Πατριαρχῶν καὶ τῶν Προφητῶν καὶ τῶν Ἀποστόλων, καὶ πάντων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων, ὅπου οὐκ ἔνι ὀδύνη, λύπη καὶ στεναγμός· ἀλλὰ χορὸς εὐσεβῶν ἀνειμένος καὶ γῆ εὐθεῖα συνανειμένη καὶ τῶν ἐν αὐτῇ ὁρώντων τὴν δόξαν Χριστοῦ κτλ.».

Ἐν δὲ τῷ μβ' κεφ. ὑπάρχει διάταξις περὶ τοῦ πῶς δεῖ καὶ πότε γίνεσθαι τὰς τῶν κοιμηθέντων πιστῶν μνείας· καὶ ὅτι ἐκ τῶν ὑπαρχόντων αὐτοῖς δεῖ παρέχεσθαι πένησι, ἔχουσα ὧδε:

«Ἐπιτελείσθω δὲ τρίτα τῶν κεκοιμημένων ἐν ψαλμοῖς καὶ ἀναγνώσεσι καὶ προσευχαῖς διὰ τὸν διὰ τριῶν ἡμερῶν ἐγερθέντα, καὶ ἕνατα εἰς ὑπόμνησιν τῶν περιόντων καὶ τῶν κεκοιμημένων, καὶ τεσσαράκοντα κατὰ τὸν παλαιὸν τύπον· Μωσῆν γὰρ οὕτως ὁ λαὸς ἐπένθησε· καὶ ἐνιαύσια ὑπὲρ μνείας αὐτοῦ· καὶ διδόσθω ἐκ τῶν ὑπαρχόντων αὐτοῦ πένησιν εἰς ἀνάμνησιν αὐτοῦ».

Ἐν δὲ μγ'. κεφαλ. λέγονται τὰ ἑξῆς περὶ τῶν ἐν εὐσεβείᾳ τε-

λευτησάντων, ὅτι τοὺς ἀσεβεῖς τελευτῶντας οὐδὲν ὠφελοῦσι μνεῖαι ἢ ἐντολαί.

«Ταῦτα δὲ περὶ εὐσεβῶν λέγομεν, περὶ γὰρ ἀσεβῶν, ἐὰν τὰ τοῦ κόσμου δῶρ πένησιν οὐδὲν ὀνήσεις αὐτόν· ᾧ γὰρ περιόντι ἐχθρὸν ἦν τὸ θεῖον, δῆλον ὅτι καὶ μεταστάντι· οὐ γάρ ἐστιν ἀδικία παρ' αὐτῷ· δίκαιος γὰρ ὁ Κύριος καὶ δικαιοσύνας ἠγάπησε· καὶ ἰδοὺ ἄνθρωπος καὶ τὸ ἔργον αὐτοῦ».

Ἐν τῷ συγγράμματι τοῦ Ἀθανασίου τοῦ Παρίου ἀναγιγνώσκομεν τὰ ἑξῆς:

«Οὐκ οἶμαι θαυμαστὸν εἶναι, ὅπερ ὁ νομομαθὴς καὶ προφητοδίδακτος Ἰούδας ὁ Μακκαβαῖος περὶ ἀθανασίας τῆς ψυχῆς καλῶς ἐφρόνει. Τὸ θαυμαστὸν δήπου ἐκεῖνό ἐστιν, ὅτι ἅπαντα σχεδὸν τὰ ἔθνη πεπεισμένα ἐστίν, ὅτι παρὰ ταύτην καὶ ἄλλη τίς ἐστι ζωὴ τέλος μὴ ἔχουσα. Καί τις τῶν πάλαι σοφῶν, ὅτι μεγίστην ἔχει δύναμιν ἔφασκε παρ' ἡμῖν, περὶ τῆς τῶν ψυχῶν ἀθανασίας ἡ ὁμοφωνία τῶν ἀνθρώπων ἐκείνων, ὅτι τινὲς ἢ φοβοῦνται ἢ τιμῶσι τοὺς καταχθονίους. Μαρτυρεῖ δὲ καὶ ὁ Μακρόβιος, ἀκριβὴς ἀνιχνευτὴς τῆς ἀρχαίας σοφίας, ὅτι κοινὴ ἦν γνώμη τὴν ψυχὴν οὐχ ἧττον ἀθάνατον εἶναι ἢ ἀσώματον. Ἐν ὅλῃ τῇ Ἀμερικῇ τῇ τε πρὸς Βορρᾶν, τῇ τε πρὸς Νότον ἡ ἰδέα μιᾶς ἄλλης ζωῆς πῇ μὲν μᾶλλον, πῇ δ' ἧττον καθαρά, τὸ θεμέλιον ἐστὶ τῆς ἑαυτῶν θρησκείας, τοῦτ' αὐτὸ εἰρήσθω καὶ περὶ πάντων τῶν τῆς Ἀφρικῆς ἀγρίων λαῶν, τῶν τῆς Σιβηρίας, τῶν Σαμοϊέδων, τῶν Σκυθῶν. Ἅπαντα τὰ βάρβαρα ταῦτα ἔθνη τοὺς ἑαυτῶν νεκροὺς ἐνταφιάζουσι μετὰ παρασκευῶν τοιούτων, αἷ τὸ χρήσιμον ἑαυτῶν εἰς ἕτερον βίον ἐπιδεικνύονται, καὶ ὑπὲρ αὐτῶν ἐτησίως δέονται».

Τὸ πνεῦμα, καὶ ὁ τρόπος καὶ ὁ λόγος τῆς δεήσεως τῆς Ἐκκλησίας ἐμφαίνονται ἔντε ταῖς εὐχαῖς καὶ τοῖς τροπαρίοις τῶν μνημοσύνων, τὰ ὁποῖα ἀντιγράφομεν ὧδε.

α'.) «Τῶν ἀπ' αἰῶνος σήμερον νεκρῶν ἁπάντων κατ' ὄνομα μετὰ »πίστεως ζησάντων εὐσεβῶς μνήμην τελοῦντες οἱ πιστοὶ τὸν Σωτῆρα »καὶ Κύριον ἀνυμνήσωμεν αἰτοῦντες ἐκτενῶς τούτους ἐν ὥρᾳ τῆς κρί»σεως ἀπολογίαν ἀγαθὴν δοῦναι αὐτῷ τῷ Θεῷ ἡμῶν τῷ πᾶσαν κρί»νοντι τὴν γῆν, τῆς δεξιᾶς αὐτοῦ παραστάσεως τυχόντες ἐν χαρᾷ, »ἐν μερίδι Δικαίων, καὶ ἐν ἁγίῳ κλήρῳ φωτεινῷ, καὶ ἀξίους γενέ»σθαι τῆς οὐρανίου βασιλείας αὐτοῦ».

β΄.) «Ὁ ἐν τῷ οἰκείῳ αἵματι Σωτὴρ βροτοὺς ἐκπριάμενος, καὶ »θανάτῳ Σου θανάτου τοῦ πικροῦ ἐκλυτρωσάμενος ἡμᾶς καὶ ζωὴν »τὴν αἰώνιον παράσχων τῇ ἀναστάσει Σου ἡμῖν, πάντας ἀνάπαυ»σον, Κύριε, τοὺς κοιμηθέντας εὐσεβῶς, ἢ ἐν ἐρήμοις, ἢ πόλεσιν, ἢ »ἐν θαλάσσῃ ἢ ἐν γῇ, ἢ ἐν παντὶ τόπῳ, Βασιλεῖς τε, Ἱερεῖς, Ἀρ»χιερεῖς, Μοναστὰς καὶ μιγάδας, ἐν ἡλικίᾳ πάσῃ παγγενεῖ, καὶ »ἀξίωσον αὐτοὺς τῆς οὐρανίου βασιλείας σου».

γ΄.) «Τῇ ἐκ νεκρῶν ἐγέρσει Σου Χριστὲ οὐκέτι ὁ θάνατος κυ»ριεύει τῶν θανόντων εὐσεβῶς· διὸ αἰτοῦμεν ἐκτενῶς τοὺς Σοὺς δού»λους ἀνάπαυσον ἐν αὐλαῖς Σου καὶ ἐν κόλποις Ἀβραάμ, τοὺς ἐξ »Ἀδὰμ μέχρι σήμερον λατρεύσαντάς Σοι καθαρῶς πατέρας καὶ ἀδελ»φοὺς ἡμῶν, φίλους ὁμοῦ καὶ συγγενεῖς, ἅπαντα ἄνθρωπον τὰ τοῦ »βίου λειτουργήσαντα καλῶς καὶ πρὸς Σὲ μεταστάντα πολυειδῶς »καὶ πολυτρόπως ὁ Θεός, καὶ ἀξίωσον τούτους τῆς οὐρανίου βασι»λείας Σου».

Ἡ δὲ αἴτησις ἔχει ὧδε :

«Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, »ἐπάκουσον, καὶ ἐλέησον. Ἔτι δεόμεθα ὑπὲρ μακαρίας μνήμης καὶ »αἰωνίου ἀναπαύσεως πάντων τῶν κεκοιμημένων εὐλαβῶν καὶ ὀρθο»δόξων Χριστιανῶν, βασιλέων, ἀρχιερέων, ἱερέων, ἱερομονάχων, »ἱεροδιακόνων, μοναχῶν, μοναζουσῶν, πατέρων, προπατόρων, πάπ»πων καὶ προπάππων, ἐκ τῶν ἀπ' ἀρχῆς καὶ μέχρι τῶν ἐσχάτων· »καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε »καὶ ἀκούσιον». (Ἔπειτα αἱ συνήθεις εὐχαί).

§ 6΄. Περὶ τοῦ δευτέρου ἐτησίου μνημοσύνου.

Τὸ δεύτερον ἐτήσιον μνημόσυνον ὑπὲρ τῶν ψυχῶν τῶν κεκοιμημένων ἡ Ἐκκλησία τελεῖ λίαν καταλλήλως 9 ἡμέρας μετὰ τὴν Ἀνάληψιν τοῦ Σωτῆρος Χριστοῦ, ἤτοι τῷ Σαββάτῳ τῷ πρὸ τῆς Πεντηκοστῆς τοῦ Πάσχα, ὁ «ψυχοσάββατον» ἐπίσης καλεῖται, ὡς τὸ πρὸ τῆς Κυριακῆς τῶν Ἀπόκρεων Σάββατον «πρῶτον ψυχοσάββατον».

Κατὰ τὴν ἡμέραν ταύτην μνήμην ποιεῖται ἡ Ἐκκλησία πάντων τῶν ἀπὸ Ἀδὰμ εὐσεβῶς κοιμηθέντων, δέεται ὑπὲρ αὐτῶν, καὶ αἰτεῖται παρὰ Χριστοῦ τοῦ Θεοῦ τοῦ ἀνακληφθέντος εἰς τοὺς οὐρανοὺς καὶ ἐν δεξιᾷ καθεσθέντος τοῦ Πατρός, ὅπως ἐν ὥρᾳ τῆς κρίσεως ἀπολο-

γίαν ἀγαθὴν δώσωσιν αὐτῷ τῷ πᾶσαν κρίνοντι τὴν Γῆν, τύχωσι τῆς ἐκ δεξιῶν αὐτοῦ παραστάσεως ἐν χαρᾷ, ἐν μερίδι δικαίων, καὶ ἐν κλήρῳ φωτεινῷ ἁγίων, καὶ γείνωσιν ἄξιοι τῆς οὐρανίου βασιλειας κληρονόμοι

Ἡ Ἐκκλησία δεομένη ὑπὲρ πάντων τῶν ἀπὸ Ἀδὰμ μέχρι σήμερον εὐσεβῶς κοιμηθέντων εὔχεται οὐχὶ βεβαίως μόνον ὑπὲρ Χριστιανῶν· διότι οὐδεὶς Χριστιανὸς ἀπὸ Ἀδὰμ μέχρι Χριστοῦ, ἀλλ' ὑπὲρ πάσης ψυχῆς παντὸς γένους βροτῶν ἐναρέτως βιωσάσης εἴτε ἐν νόμῳ, εἴτε ἐν ἀκροβυστίᾳ· εὔχεται δ' ἐν τοῖς τροπαρίοις, ἵνα «ἅπαντα ἄνθρωπον τὰ τοῦ βίου λειτουργήσαντα πιστῶς καὶ πρὸς Θεὸν μεταστάντα πολυειδῶς καὶ πολυτρόπως ὁ Θεὸς ἀξιώσῃ τῆς οὐρανίου βασιλείας αὐτοῦ». Διὰ τῆς τοιαύτης ὑπὲρ τῶν εὐσεβῶς κοιμηθέντων διαταχθείσης ἀκολουθίας ἡ Ἐκκλησία κηρύττει ὅτι οἱ ἀπὸ Ἀδὰμ μέχρι Χριστοῦ τελειωθέντες ἐνάρετοι ἄνδρες εἰσὶν ἄξιοι τοῦ θείου ἐλέους καὶ δέεται τοῦ Θεοῦ ὑπὲρ αὐτῶν, ὅπως δώσῃ αὐτοῖς ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως εὐπρόσδεκτον ἀπολογίαν. Τὸ φρόνημα τοῦτο τῆς Ἐκκλησίας, ὅπερ ἀπὸ τῶν ἀποστολικῶν χρόνων γινώσκομεν, εἶναι λίαν ὀρθὸν καὶ δίκαιον· διότι, ἀφοῦ ὁ Κύριος ἡμῶν ἦλθεν, ἵνα σώσῃ τὸν κόσμον, ἔπεται ὅτι ἔμελλε νὰ σώσῃ καὶ πάντας τοὺς ἐναρέτως διαβιώσαντας, πρὸ τῆς ἀφίξεως αὐτοῦ, διότι οὐχὶ ἡ ἔλλειψις ἀρετῆς ἐν τῷ κόσμῳ προυκάλεσε τὴν ἀνάγκην τῆς ἐνσάρκου οἰκονομίας τοῦ Υἱοῦ τοῦ Θεοῦ, ἀλλ' ἡ ἔλλειψις τῆς πρὸς τὸν Θεὸν φιλίας καὶ τὸ μεσότοιχον τῆς ἔχθρας τὸ διαχωρίζον Θεὸν καὶ ἄνθρωπον καί, ὅπερ ὁ Υἱὸς τοῦ Θεοῦ ἦλθε νὰ καθέλῃ. Λόγος λοιπὸν τῆς ἀφίξεως τοῦ Υἱοῦ τοῦ Θεοῦ ἦτο ἡ συμφιλίωσις Θεοῦ μετὰ τοῦ ἀνθρώπου καὶ οὐχὶ ἡ ἔλλειψις ἀρετῆς. Εἶναι ἀληθὲς ὅτι ὁ Ἰησοῦς διὰ τῆς θείας αὐτοῦ διδασκαλίας ἀπεκάλυψε τοῖς ἀνθρώποις νέας τελειωτικὰς ἀρχὰς καὶ ὑπέδειξεν αὐτοῖς οὐρανὸν καινόν, καὶ γῆν καινήν, ἀλλὰ τοῦτο δὲν ἀναιρεῖ τὴν ὕπαρξιν ἀρετῆς ἐν τῷ κόσμῳ· ἡ ἀρετὴ λοιπὸν ἐν τῷ κόσμῳ ὑφίστατο, ἀλλ' ὁ ἄνθρωπος εὑρίσκετο ὑπὸ δυσμένειαν καὶ ἐδέετο διαλλάκτου· τούτου δὲ ἐλθόντος ὁ ἐνάρετος εὗρε χάριν παρὰ τῷ Θεῷ καὶ ἔτυχε τῆς σωτηρίας.

Ὅτι τοῖς δικαίοις ἐπεφυλάσσετο σωτηρία διὰ Ἰησοῦ Χριστοῦ, τοῦτο διδασκόμεθα ἐκ τῆς Παλαιᾶς Διαθήκης· ἐν ταύτῃ ὁ Θεὸς ὑπέσχετο τοῖς Ἰουδαίοις σωτηρίαν, ἐὰν ἐτήρουν τὸν νόμον, τοῦτο ἐβεβαίωσε καὶ ὁ Σωτήρ, ὡς ἀναφέρει ὁ Εὐαγγελιστὴς Ματθαῖος,

εἰπὼν πρὸς τὸν ἐρωτήσαντα τί νὰ ποιήσῃ, ἵνα ζωὴν αἰώνιον κληρονομήσῃ, ὅτι ἀρκετὴ ἦτο πρὸς τοῦτο ἡ τῶν ἐντολῶν τήρησις. Βεβαίως οὐδέποτε θὰ ἔλεγεν αὐτῷ νὰ τηρήσῃ τὰς ἐντολὰς (Ματθ. 19. 17), ἐὰν ἐν τῇ τηρήσει τῶν ἐντολῶν δὲν τῷ ἐπεφυλάσσετο σωτηρία διὰ Ἰησοῦ Χριστοῦ. Ἐπίσης οὐδὲ πρὸς τοὺς ἐλέγχοντας αὐτὸν Φαρισαίους, ὅτι μετὰ ἁμαρτωλῶν καὶ τελωνῶν ἐσθίει καὶ πίνει, θὰ ἔλεγεν ὁ Ἰησοῦς, τὸ «οἱ ἰσχύοντες οὐκ ἔχουσι χρείαν ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες...οὐ γὰρ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν» (Ματθ. 9.12.13). Οἱ λόγοι οὗτοι τοῦ Ἰησοῦ ἀποδεικνύουσι σαφῶς ὅτι οἱ δίκαιοι εἶχον μερίδα ἐν τῇ διὰ Ἰησοῦ Χριστοῦ ἐλευσομένῃ σωτηρίᾳ τοῦ ἀνθρωπίνου γένους. Ἀφοῦ δὲ οἱ ὑπὸ νόμον εἶχον μέρος ἐν τῇ σωτηρίᾳ, διατί τὰ ἔθνη τὰ ἔχοντα τὸν νόμον γραπτὸν εἰς τὰς καρδίας αὐτῶν καὶ ποιοῦντα αὐτὸν νὰ ἀποκλεισθῶσι τῆς σωτηρίας; μὴ προσωπολήπτης ὁ Θεός; ἢ μήπως Ἰουδαίων ὁ Θεὸς μόνον; ἄπαγε! ὁ Θεὸς εἶναι Θεὸς δίκαιος καὶ πατὴρ πάσης φυλῆς καὶ γένους ἀνθρώπων· ἐὰν λοιπὸν ὑπεσχέθη σωτηρίαν τοῖς ὑπὸ νόμον, ἐὰν τηρήσωσι τὸν νόμον, θέλει σώσει καὶ τοὺς ἐν τῇ ἀκροβυστίᾳ τοὺς τηρήσαντας τὸν νόμον τὸν γεγραμμένον ἐν ταῖς καρδίαις αὐτῶν. Ὁ Ἅγιος Ἀναστάσιος ὁ Πατριάρχης Ἀντιοχείας διαβεβαιοῖ ὅτι δι' ἀποκαλύψεως ἐγνώσθη αὐτῷ ἡ τῶν ἐθνικῶν δικαίων σωτηρία· ἀναφέρει δὲ τὴν καθ' ὕπαρ ἐμφάνειαν τοῦ σοφοῦ Πλάτωνος πρός τινα εὐσεβῆ μοναχὸν ἐξυβρίζοντα αὐτὸν διά τινας πλάνας αὐτοῦ, καὶ λέγει ὅτι ἐμφανισθεὶς ἐδίδαξεν αὐτὸν τὰ περὶ τῆς σωτηρίας του διὰ Ἰ. Χριστοῦ καὶ προέτρεψε μὴ ἁμαρτάνειν ὑβρίζων. Ἡ μαρτυρία αὕτη, καίτοι ἀξιόπιστος ὡς ἀπὸ ἀξιοπίστου συγγραφέως προερχομένη, καὶ ἂν μὴ ληφθῇ ὑπ' ὄψει, ἡ δόξα περὶ τῆς σωτηρίας τῶν ἐθνικῶν ἑδραζομένη ἐπὶ τῶν ὀρθῶν συλλογισμῶν, ἵσταται καθ' ἑαυτήν.

Ἡ σωτηρία λοιπὸν ἡ τῷ ἀνθρωπίνῳ γένει χορηγηθεῖσα διὰ Ἰησοῦ Χριστοῦ, ἐγένετο γενικὴ πᾶσι τοῖς ἐναρέτως ζήσασι.

Διὰ τὰ τοσαῦτα ἀγαθά, ὅσα ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς παρέσχε τῇ ἀνθρωπότητι, ἥτις πᾶσα ὀφείλει νὰ εὐχαριστῇ τῷ Θεῷ, ἡ Ἐκκλησία ἀναπέμπει εὐχαριστίας πρὸς αὐτὸν ὡς πρὸς τὸν Δεσπότην τῶν ἁπάντων καὶ λυτρωτήν, δοξάζει αὐτὸν ὡς Θεὸν ἀληθινόν, καὶ δέεται ὑπὲρ τῶν ψυχῶν πάντων τῶν εὐσεβῶς κοιμηθέντων πάσης φυλῆς καὶ γένους.

Ἡ ἀκαλουθία τῶν κεκοιμημένων ἐτέθη λίαν καταλλήλως μετὰ τὸν χρόνον τῆς Ἀναλήψεως τοῦ Σωτῆρος Χριστοῦ, διότι διὰ ταύτης γενόμενος ὁ Κύριος ἐν τοῖς κόλποις τοῦ Πατρὸς καὶ λαβὼν πᾶσαν ἐξουσίαν ἐν Οὐρανῷ καὶ ἐπὶ γῆς, ἐγένετο ζώντων καὶ τεθνεώτων Δεσπότης· ἡ Ἐκκλησία λοιπὸν ἔνθεν μὲν θέλουσα νὰ ὁμολογήσῃ τὸν Ἰησοῦν Χριστὸν ζώντων τε καὶ νεκρῶν ἐξουσιαστήν, ἔνθεν δὲ νὰ ἀνακηρύξῃ τὴν πίστιν αὐτῆς εἰς τὴν δευτέραν παρουσίαν, τὴν ὑπὲρ τῶν κεκοιμημένων ἀκολουθίαν συνέταξεν.

§ γ΄. Περὶ τῆς προσγινομένης ὠφελείας ταῖς ψυχαῖς ἐκ τῶν ἱερῶν μνημοσύνων.

Τὰ ἱερὰ μνημόσυνα καὶ ὑπὸ ἠθικὴν ἔποψιν ἐξεταζόμενά εἰσι λίαν ἀναγκαῖα, καθ'ὅσον παρέχουσι καὶ τοῖς ἐπιζῶσι μεγάλην ὠφέλειαν· δι' αὐτῶν ἡ Ἐκκλησία διδάσκει τὰ ἑαυτῆς τέκνα τὴν ἀληθῆ χριστιανικὴν φιλοσοφίαν καὶ ὑπομιμνήσκει εἰς αὐτὰ τὰς θεμελιώδεις ἀρχὰς τοῦ Χριστιανισμοῦ· κηρύττει ὡς δι' ὑψηλοῦ κηρύγματος τὴν ἀθανασίαν τῆς ψυχῆς, καὶ τὴν ἔναρξιν μετὰ θάνατον νέου σταδίου ζωῆς ἀλήκτου καὶ ἀτέρμονος. Ἐπίσης κηρύττει τὴν διηνεκῆ ἐν τῷ κόσμῳ τοῦ Σωτῆρος Χριστοῦ παρουσίαν, τὴν μεθ' ἡμῶν ἐπικοινωνίαν καὶ σχέσιν, τῶν τεθνεώτων καί, ἵνα συλλήβην περιλάβω ἅπαν τὸ πνεῦμα τῶν τελουμένων μνημοσύνων, δι' αὐτῶν διδάσκει ἡ Ἐκκλησία τὰ τέκνα της, ὅτι ὁ ἄνθρωπος εἶναι οὐρανοπολίτης, ὅτι ἀπὸ τῆς ἐν γῇ στρατευομένης Ἐκκλησίας μεταβαίνει εἰς τὴν ἐν οὐρανῷ θριαμβεύουσαν, ὅτι ἀμφοτέρων κεφαλὴ εἶναι ὁ Χριστός, ὅστις εἰσακούει πάντων τὰς δεήσεις καὶ ἱκεσίας καὶ ἐπικάμπτεται ταῖς πρεσβείαις τῶν Ἁγίων καὶ τῆς Θεοτόκου, ὅτι ἡ ἐλπὶς τῆς σωτηρίας τοῦ Χριστιανοῦ δὲν ἀπόλλυται καὶ μετὰ θάνατον, ὅτι ἡ Ἐκκλησία πιστεύει, ὅτι αἱ δεήσεις αὐτῆς καὶ ἱκεσίαι αἱ ὑπὲρ τῶν τέκνων αὐτῆς γινόμεναι εἰσακούονται παρὰ τοῦ φιλανθρώπου Σωτῆρος ἡμῶν καὶ παρέχεται τοῖς ὑπὲρ ὧν γίνονται τὰ μνημόσυνα ἄφεσις παραπτωμάτων, ὅτι ἡ ὁριστικὴ ἀπόφασις περὶ τῆς ἀμοιβῆς καὶ τιμωρίας εἰσέτι δὲν ἐξεδόθη, ὅτι αὕτη ἐπιφυλάσσεται ἐν τῇ δευτέρᾳ καὶ φρικτῇ τοῦ Δεσπότου Χριστοῦ παρουσίᾳ, ὅτε ἕκαστος θὰ λάβῃ τὸ γέρας καὶ τοὺς στεφάνους, οὓς ἐπολιτεύθη βίου, ὅτι μέχρι τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας δύναται ἡ Ἐκκλησία νὰ ἀναπέμπῃ εὐχὰς καὶ δεήσεις πρὸς τὸν Κύριον ὑπὲρ τῶν

τέκνων αὐτῆς, ὅτι ὡς ἐν τῇ στρατευομένῃ Ἐκκλησίᾳ οἱ ὑπὸ ἐκκλησιαστικὴν ποινὴν εὑρισκόμενοι διὰ τὰς πεπραγμένας αὐτῶν ἁμαρτίας στεροῦνται τῶν θείων μυστηρίων, οὕτω καὶ ἐν τῇ θριαμβευούσῃ Ἐκκλησίᾳ οἱ ἐν ἁμαρτίαις θανόντες μακρὰν τῶν ἁγίων καὶ δικαίων εἰσὶν ἐστερημένοι τῆς δόξης καὶ χάριτος τῆς ἀπορρεούσης ἐκ τοῦ ἀρρήτου κάλλους τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅπερ ἐπιποθεῖ καὶ ζητεῖ πᾶσα ψυχή, ὅπως χορτασθῇ, κατὰ τὸ ρητόν, «Χορτασθήσομαι ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν Σου»· πλὴν οὐχὶ ἐκτὸς τοῦ Ἅδου, ἐν ᾧ ἕκαστος ἀποτίνει τὴν ποινὴν κατὰ τὸ βάρος τῆς ἑαυτοῦ συνειδήσεως· ὅπως δὲ ὑπὲρ τῶν κατηχουμένων τῆς στρατευομένης Ἐκκλησίας εὔχεται ἡ Ἐκκλησία ἀδιαλείπτως πρὸς τὸν Κύριον, ἵνα ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ καθολικῇ καὶ Ἀποστολικῇ Ἐκκλησίᾳ, οὕτω καὶ ὑπὲρ τῶν ἐν ἁμαρτίαις κοιμηθέντων πιστῶν δύναται νὰ εὐχηται καὶ νὰ αἰτῆται συναντιλήπτορας καὶ τοὺς ἁγίους τῆς θριαμβευούσης Ἐκκλησίας, ὅπως ἐξιλεώσῃ τὸν Θεὸν ὑπὲρ αὐτῶν καὶ τάξῃ αὐτοὺς ἐν σκηναῖς δικαίων, ἐν κόλποις Ἀβραάμ, καὶ συναριθμήσῃ αὐτοὺς μετὰ τῶν σεσωσμένων. Ταῦτα πάντα διὰ τῶν μνημοσύνων διδάσκει ἡ Ἐκκλησία, δι' ὧν παρκμυθεῖται καὶ παρηγορεῖ τοὺς τῶν μεταστάντων συγγενεῖς καὶ φίλους καὶ θεραπεύει τὰς τρωθείσας καρδίας διὰ τοῦ οὐρανίου βαλσάμου τοῦ ὑπὸ τοῦ Σωτῆρος πεμπομένου αὐταῖς.

Διὰ τῶν μνημοσύνων ἡ Ἐκκλησία πρῶτον συναγείρει τὸ τῶν πιστῶν σύστημα καὶ παρακελεύεται αὐτὸ νὰ ἐνδείξῃ τὴν πρὸς τὸν μεταστάντα ἀδελφὸν ὀφειλομένην ἀγάπην, ἀφήσῃ αὐτῷ τὴν ὀφειλήν, δεηθῇ ὑπὲρ αὐτοῦ μετὰ τῆς Ἐκκλησίας πρὸς τὸν Κύριον τῶν ζώντων τε καὶ νεκρῶν Δεσπότην καὶ ἐξουσιαστήν, αἰτήσηται παρ' αὐτοῦ τὴν συγχώρησιν τῶν ὑπ' αὐτοῦ πραχθέντων πλημμεληκάτων, τὴν δαψίλειαν τῆς θείας χάριτος, καὶ τὴν κληρονομίαν τῆς οὐρανίου βασιλείας, δεύτερον παραμυθεῖται ἡ τῶν πιστῶν ὁμήγυρις τῶν τεθλιμμένων τὰς καρδίας, αἵτινες ἐν τῇ ἐνδείξει τῆς ἀγάπης καὶ τῆς συμπαθείας τῆς ὅλης Ἐκκλησίας εὑρίσκουσιν ἀνακούφισιν καὶ παρηγορίαν, διότι οὕτω ἡ τοῦ πάθους συμμετοχὴ φέρει παρηγορίαν τῷ τεθλιμμένῳ ὡς ἡ τοῦ βάρους συναντίληψις ἐλάττωσιν καὶ ἀνακούφισιν τῷ πεφορτισμένῳ, καὶ τρίτον διὰ τῶν μνημοσύνων γίνεται ἀνάμνησις τοῦ θανάτου, ὑπόμνησις τῆς ματαιότητος τῶν πραγμάτων τοῦ κόσμου, τοῦ προσκαίρου βίου καὶ τῆς αἰωνίου ζωῆς, προτροπὴ πρὸς ἀρετὴν καὶ ἐνάρετον πολιτείαν, ἐνθάρρυνσις πρὸς εὐεργεσίας καὶ ἀγαθοεργίας, καὶ ἐν γένει ἀφορμὴ πρὸς

προκοπὴν ἐν τῇ ἀρετῇ καὶ πρὸς τελείωσιν· καὶ οὗτός ἐστιν ὁ ἠθικὸς χαρακτὴρ τῶν μνημοσύνων.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

ΠΕΡΙ ΤΩΝ ΙΕΡΩΝ ΜΝΗΜΟΣΥΝΩΝ ΟΤΙ ΛΥΣΙΤΕΛΗ ΚΑΙ ΟΤΙ ΕΞ ΑΠΟΣΤΟΛΙΚΗΣ ΠΑΡΑΔΟΣΕΩΣ ΕΙΣΙΝ

§ α'. **Μαρτυρίαι ἐκ τῶν Πατέρων τῆς Ἐκκλησίας.**

Ὁ Ἅγιος Ἰωάννης ὁ Δαμασκηνὸς ὁμιλῶν περὶ τῶν ὑπὸ τῆς Ἐκκλησίας τελουμένων ἱερῶν μνημοσύνων ἐν τῷ λόγῳ αὐτοῦ «Περὶ τῶν ἐν πίστει κεκοιμημένων» (τόμ. Α'. σελ. 585—595) ἀναπτύσσει θαυμασίως τὸ περὶ μνημοσύνων κεφάλαιον ὡς ἑξῆς:

«Ἴδετε γὰρ τί φησιν ἡ θεία Γραφή. «Ὡς Ἰούδας ὁ Μακκαβαῖος ἐν τῇ Σιὼν τῇ πόλει τοῦ Βασιλέως τοῦ Μεγάλου, ὑπηνίκα τεθνατωμένον εἶδε τὸν ὑπ' αὐτὸν λαὸν ὑπὸ τῶν ἀλλοφύλων ἐχθρῶν, ἐρευνήσας αὐτῶν τοὺς κόλπους καὶ τούτων ἔνδοθεν εὑρὼν εἰδωλεῖα, ἐξιλασμὸν αὐτίκα ὑπὲρ ἑκάστου τούτων πρὸς τὸν εἰς οἶκτον ἕτοιμον Κύριον προσενήνοχε. πανευσεβῶς ποιήσας καὶ φιλαδέλφως λίαν»· ὅθεν καὶ παρὰ τῇ θείᾳ Γραφῇ, ὡς ἐν πᾶσι, καὶ ἐν τούτῳ τεθαύμασται. Οἱ δέ γε μύσται καὶ αὐτόπται τοῦ λόγου, οἱ τὸν τοῦ κόσμου γῦρον ζωγρήσαντες μαθηταὶ τοῦ Σωτῆρος καὶ θεῖοι Ἀπόστολοι, ἐπὶ τῶν φρικτῶν καὶ ἀχράντων καὶ ζωοποιῶν μυστηρίων μνήμην ποιεῖσθαι τῶν πιστῶς κοιμηθέντων ἐθέσπισαν· ὃ καὶ κατέχει βεβαίως καὶ λίαν ἀναντιρρήτως ἡ τοῦ Χριστοῦ καὶ Θεοῦ ἀπὸ περάτων μέχρι περάτων Ἀποστολικὴ καὶ Καθολικὴ Ἐκκλησία ἔκτοτε μέχρι τοῦ νῦν καὶ τῆς τοῦ Κόσμου λήξεως ἄχρι· οὐκ ἀλογίστως πάντως, οὐδὲ ματκίως, οὐδὲ εἰκῇ καὶ ὡς ἔτυχέ, τοῦτο θεσπίσαντες. Οὐδὲν γὰρ ἀνόνητον ἡ τῶν Χριστιανῶν ἁπλανὴς θρησκεία παρείληφε καὶ εἰς αἰῶνα κατέσχεν ἀπαρασάλευτον, ἀλλὰ πάντα ἐπωφελῆ καὶ θεάρεστα καὶ λίαν ὀνησιφόρα, καὶ σωτηρίας μεγίστης πρόξενα.

«Ἔφη τοιγαροῦν ὁ πολὺς τὰ θεῖα καὶ βαθὺς Διονύσιος, ἐν τῇ περὶ τῶν κεκοιμημένων μυστικῇ θεωρίᾳ οὕτωσὶ λέξας, ἵνα ἐκ τῶν αὐτοῦ θείων τε καὶ σεβαστῶν λόγων πρὸς ἐναργῆ ἀπόδειξιν ἐφαψώμεθα, ὡς «αἱ τῶν ἁγίων προσευχαί, καὶ κατὰ τὸν τῇδε βίον μήτι γε μετὰ θάνα-

τὸν, εἰς τοὺς ἀξίους ἱερῶν εὐχῶν (ἤγουν εἰς τοὺς πιστοὺς) ἐνεργοῦσι, τὸ δὲ μήτι γε, πάντως ἐνταῦθα μηδὲν ἕτερον, ἢ τὸ πόσῳ γε μᾶλλον ἀπολεπτέον»· καὶ μετ' ὀλίγον· «οὐ γὰρ ὁ θεῖος ἱεράρχης, ὁ τῆς θεαρχικῆς δικαιώσεως ὑποφήτης ἐζήτει ποτὲ τὰ μὴ τῷ Θεῷ προσφιλέστατα, καὶ πρὸς αὐτοῦ δοθήσεσθαι θειωδῶς ἐπηγγελμένα· διὸ τοῖς ἀνιέροις, ἤγουν τοῖς ἀφωτίστοις, οὐκ ἐπεύχεται ταῦτα κεκοιμημένοις»· καὶ αὖθις, «οὐκοῦν ὁ θεῖος Ἱεράρχης ἐξαιτεῖται τὰ φίλα Θεῷ καὶ πάντως δωρηθησόμενα»· καὶ πάλιν· «ἡ μὲν οὖν εὐχὴ τῆς θεαρχικῆς ἀγαθότητος δεῖται πάντα μὲν ἀφιέναι τὰ δι' ἀνθρωπίνην ἀσθένειαν τῶν κεκοιμημένων πταίσματα, τάξαι δὲ τούτους ἐν χώρᾳ ζώντων καὶ κόλποις Ἀβραάμ, Ἰσαάκ, καὶ Ἰακώβ, ἐν ᾧ ἀπέδρα τόπῳ ὀδύνη, καὶ λύπη, καὶ στεναγμὸς παρορώσης ἀγαθότητι τῆς θεαρχικῆς εὐσθενείας τὰς ἐγγενομένας τοῖς κεκοιμημένοις ἐξ ἀνθρωπίνης ἀσθενείας κηλῖδας, ἐπείπερ, ὡς τὸ λόγιόν φησιν· «οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου». Βλέπεις ὁ ἀντιλέγων πῶς βεβαιοῖ ὠφελεῖς ὑπάρχειν τὰς ὑπὲρ τῶν ἐπ' ἐλπίδι θείᾳ κατοιχηθέντων δεήσεις ;»

«Μετὰ δὲ τοῦτον αὖθις ὁ τῆς θεολογίας ἐπώνυμος θεορρήμων Γρηγόριος ἐν τῷ εἰς Καισάριον τὸν ἀδελφὸν ἐπιταφίῳ λόγῳ, περὶ τῆς ἰδίας μητρός· «Ἠκούσθη, φησί, κήρυγμα πάσης ἀκοῆς ἄξιον, καὶ μητρὸς πάθος κενοῦται δι' ὑποσχέσεως καλῆς καὶ ὁσίας δοῦναι τὰ πάντα τῷ παιδὶ τὸν ἐκείνου πλοῦτον ὑπὲρ ἐκείνου δῶρον ἐπιτάφιον·» καὶ μεθ ἕτερα· «τὰ μὲν οὖν παρ' ἡμῶν τοιαῦτα· καὶ τὰ μὲν ἀποδεδώκαμεν, τὰ δὲ δώσομεν τὰς δι' ἔτους προσφέροντες τιμάς τε καὶ μνήμας, οἵγε τῷ βίῳ περιλειπόμενοι.» Ὁρᾷς πῶς βεβαιοῖ καὶ καλὰς καὶ ὁσίας καλεῖ τὰς ὑπὲρ τῶν κατοιχομένων τῷ Θεῷ προσαγωγὰς καὶ τὰς ἐτησίας μνήμας εἰσδέχεται;

Εἶτα μετ' αὐτὸν ὁ Χρυσορρήμων ὄντως καὶ χρυσεπώνυμος Ἰωάννης, ὁ τῆς πτωχείας καὶ τῆς μετανοίας ὁδηγὸς καὶ διδάσκαλος ἐν τῇ πρὸς Φιλιππησίους αὐτοῦ καὶ Γαλάτας θεοφεγγεῖ ἑρμηνείᾳ. «Εἰ γὰρ οἱ Ἕλληνες, φησί, συγκατακαίουσι τοῖς ἀπελθοῦσι τὰ ἑαυτῶν, πόσῳ γε μᾶλλον σὲ τὸν πιστὸν συμπαραπέμψαι δεῖ τῷ πιστῷ τὰ οἰκεῖα, οὐχ ἵνα τέφρα γένωνται, καθὰ ἐκεῖνα καὶ ταῦτα, ἀλλ' ἵνα μείζονα τούτῳ περιβάλῃς τὴν δόξαν· καὶ εἰ μὲν ἁμαρτωλὸς ὁ τεθνηκὼς ᾖ, ἵνα τὰ ἁμαρτήματα λύσῃ· εἰ δὲ δίκαιος, ἵνα προσθήκη γένηται μισθοῦ καὶ ἀνταποδόσεως·» καὶ πάλιν ἐν ἑτέρῳ λόγῳ·

«Ἐπινοήσωμεν, φησί, τοῖς ἀπελθοῦσιν ὠφέλειαν, δῶμεν αὐτοῖς τὴν

προσοῦσαν βοήθειαν, ἐλεημοσύνας, λέγω, καὶ προσφοράς, καὶ φέρει τούτοις πολλὴν τὸ πρᾶγμα τὴν ὄνησιν, καὶ μέγα τὸ κέρδος καὶ τὴν ὠφέλειαν· οὐ γὰρ εἰκῇ καὶ ὡς ἔτυχε ταῦτα νενομοθέτηται, καὶ τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ ὑπὸ τῶν αὐτοῦ πανσόφων μαθητῶν παραδέδοται· φημὶ δὴ τὸ ἐπὶ τῶν φρικτῶν μυστηρίων εὐχὴν ποιεῖσθαι τὸν ἱερέα ὑπὲρ τῶν ἐν πίστει κεκοιμημένων, εἰ μὴ ἴσασιν αὐτοῖς πολὺ τὸ κέρδος ἐκ τούτου καὶ πολλὴν τὴν ὠφέλειαν. Εἶτα σὺν τούτοις ὁ πάνσοφος αὖθις Νυσσαέων Γρηγόριος οὕτω φησίν, οὐδὲν ἀλογίστως οὐδὲ ἀκερδῶς ὑπὸ τῶν τοῦ Χριστοῦ κηρύκων καὶ μαθητῶν παραδέδοται καὶ ἐν τῇ τοῦ Θεοῦ πανταχοῦ ἐκκλησίᾳ διακεκράτηται, ἀλλὰ τὸ πρᾶγμα ἐπωφελὲς καὶ θεάρεστον, τὸ μνήμην δηλονότι ποιεῖν ἐπὶ τῆς θείας καὶ παμφοκοῦς μυσταγωγίας τῶν ἐν ὀρθῇ τῇ πίστει κεκοιμημένων. Τὸ γὰρ εἰπεῖν ὅτι, σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, καὶ θερίσει πᾶς τις, ὃ ἔσπειρε, καὶ τὰ τούτων ἀκόλουθα, περὶ παρουσίας πάντως τοῦ κτίστου καὶ τῆς τότε φρικτῆς ἀποφάσεως εἴρηται καὶ τῆς τοῦ κόσμου τοῦδε συμπερατώσεως. Τότε γὰρ ὅλως βοηθείας οὐκ ἔστι καιρός, ἀλλὰ πᾶσα παράκλησις ἄπρακτος· τῆς πανηγύρεως γὰρ διαλυθείσης, οὐκ ἔστι πραγματείας ἐμπόρευμα· ποῦ γὰρ οἱ πένητες τότε; Ποῦ λειτουργίαι; Ποῦ ψαλμῳδίαι; Ποῦ εὐποιΐαι; Διὸ πρὸ τῆς ὥρας ἐκείνης, ἀλλήλοις ἐπικουρήσωμεν, καὶ τῷ φιλαδέλφῳ καὶ φιλανθρώπῳ καὶ φιλοψύχῳ Θεῷ, τὰ τῆς φιλαδελφίας προσοίσωμεν. Δέχεται γὰρ εὖ μάλα καὶ τοῖς ἀσυμφθάστως καί, οἷον εἰπεῖν, ἀνετοίμως ἐκδημήσασι, τὰς ὑπὸ τῶν οἰκείων τούτοις προσφερομένας τῶν ὑστερημάτων ἀναπληρώσεις, καὶ εἰς ἔργον τούτοις καὶ πρᾶξιν λογίζεται. Θέλει γὰρ οὕτως ὁ φιλάνθρωπος Κύριος αἰτεῖσθαι, καὶ νέμειν τὰ τῶν ἰδίων κτισμάτων πρὸς σωτηρίαν αἰτούμενα, καὶ τότε μᾶλλον αὐτοῖς ὁλικῶς ἐπικάμπτεται, οὐχ ὅταν τις μόνον ὑπὲρ ἰδίας ψυχῆς ἀγωνίζεται, ἀλλ' ὅταν καὶ ὑπὲρ τοῦ πέλας τοῦτο ἐργάζεται· ἐντεῦθεν γὰρ ἐπὶ τὸ θεομίμητον ἐκτυποῦται, καὶ τὰς ἑτέρων δωρεὰς ὡς οἰκείας ἐξαιτεῖ χάριτας, καὶ τῆς τελείας ἀγάπης τὸν ὅρον ἐμπεριεκλείει, καὶ τὸν μακαρισμὸν ἐκ τούτου πορίζεται καὶ τὴν ἰδίαν σὺν τῇ τοῦ πέλας εὐεργετεῖ ψυχὴν ὅτι μάλιστα. Τί δὲ καὶ δυσαχθὲς τὸ πρᾶγμα νενόμισται; μὴ ὅτι τὴν Φαλκονίλλαν ἡ πρωτομάρτυς οὐκ ἔσωσε μετὰ θάνατον; ἀλλ' ἴσως ἐρεῖς ὅτι αὕτη κατ' ἀξίαν ἐπεὶ πρωτομάρτυς καὶ ταύτης δέον εἰσακουσθῆναι τὴν δέησιν· ἐγὼ δὲ πρὸς τοῦτό φημι, καλῶς ἡ πρωτομάρτυς ἐκεῖ· σκόπει δὲ πάλιν ὑπὲρ τίνος ἡ αἴτησις, ὅτι περ

ὑπὲρ Ἑλληνίδος, εἰδωλολάτριδός τε, καὶ πάμπαν ἀνιέρου καὶ ἀλλοτρίας Κυρίου ἐργάτιδος, ἐνταῦθα δὲ πιστὸς ὑπὲρ πιστοῦ πρὸς τὸν αὐτὸν Δεσπότην· θὲς τοίνυν καὶ ἐκ θατέρου εἰς θάτερον, ὡς ἂν τὸ πρᾶγμα ἐξισωθήσεται, καὶ τὸ διστάζον οὐκ ὑπολειφθήσεται».

«Διέλθέμοι αὖθις ἐκ τούτων εἰς ἕτερα ταὐτοδύναμα καὶ ὁμότροπα, λέγω δὴ τὴν Παλλαδίου πρὸς Λαῦσον ἱστορικὴν βίβλον, ἐν ᾗ τὰ κατὰ τὸν μέγαν καὶ θαυματουργὸν Μακάριον παναληθῶς ἀναγέγραπται θαύματα· πῶς τὸ ξηρὸν κρανίον πυθόμενος τὰ περὶ τῶν κεκοιμημένων μεμάθηκεν ἅπαντα». Εἶτα πρὸς τοῦτο· «οὐδέποτε τοίνυν τινὰ παραμυθίαν εὑρίσκετε; ἦν γὰρ ὁ ἅγιος συνήθως ποιῶν ὑπὲρ τῶν κεκοιμημένων εὐχάς, καὶ γνῶναι ἐφίετο, εἰ ἄρα πρὸς ὄνησιν γίνονται· τοῦτο δὲ βουληθεὶς ἐπιδείξασθαι ὁ φιλόψυχος Κύριος· καὶ τὸν ἑαυτοῦ πληροφορῆσαι θεράποντα, τῷ ξηρανθέντι κρανίῳ λόγον ἀληθείας ἐνέπνευσεν· ὅτε, φησίν, ὑπὲρ τῶν νεκρῶν τὰς δεήσεις προσφέρεις, τότε μικρᾶς παραμυθίας τινὸς αἰσθανόμεθα».

«Ἄλλῳ δὲ πάλιν τῶν θεοφόρων Πατέρων μαθητὴν ἔχοντι ἐν ἀμελείᾳ βιοῦντα, καὶ τοῦτον πρὸς τὸ τοῦ βίου πέρας ῥᾳθύμως ἐπιφθάσαντα, ὁ πανοικτίρμων καὶ φιλόψυχος Κύριος μετὰ δακρύων αἰτησαμένου τοῦ γέροντος, ὡς τὸν κατὰ τὸν Λάζαρον πλούσιον ἐν τῇ φλογὶ καυσούμενον μέχρι τραχήλου ὑπέδειξεν· ὡς ἐντεῦθεν πολλὰ τοῦ ἁγίου πονήσαντος καὶ σὺν δάκρυσι τὸν Θεὸν ἐκλιπαρήσαντος, μέχρι τῆς ζώνης πάλιν ὑπέδειξεν, εἶτα καὶ αὖθις κόποις τοῖς κόποις τοῦ ἁγίου προσθέντος, παντελεύθερον, καὶ τοῦ πυρὸς λελυτρωμένον ἐν ὀπτασίᾳ τῷ γέροντι δέδειχε».

«Καὶ τίς ἂν δυνηθείη καθ' εἱρμὸν τὰς τούτῳ μαρτυρίας ἐκδιηγήσασθαι, τὰς ἐν τοῖς τῶν ὁσίων βίοις ἐντεταγμένας ἐν μαρτυρίοις τε φημί, καὶ θείαις ἀποκαλύψεσιν ἐναργῶς παριστώσαις καὶ μετὰ θάνατον μέγιστα τοὺς κατοιχομένους εὐεργετεῖ, τὰς ὑπὲρ αὐτῶν γενομένας εὐχάς τε καὶ λειτουργίας καὶ ἐλεημοσύνας; οὐδὲν γὰρ τῶν δανεισθέντων Θεῷ ἀφανίζεται ὅλως, ἀλλὰ σὺν μεγίστῃ προσθήκῃ παρ' αὐτοῦ ἀνταμείβεται».

«Περὶ δὲ τοῦ φάναι τὸν Προφήτην· «ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογηθήσεταί σοι;» προειρήκαμεν, ὡς αἱ ἀπειλαὶ φρικώδεις τοῦ παντεπόπτου· νικᾷ δὲ ταύτας ἡ ἄφατος αὐτοῦ φιλανθρωπία· καὶ γὰρ μετὰ τὸ φάναι τὸν Προφήτην ταῦτα, γέγονε πάντως ἐν τῷ ᾅδῃ ἐξομολόγησις, ἐκείνων, λέγω, τῶν ἐκεῖ πιστευσάντων, ἐν τῇ σωτηρίῳ τοῦ

Δεσπότου καθόδῳ, οὐ γὰρ ἁπλῶς ἔσωσε πάντας ὁ ζωοδότης, ἀλλ'ὡς εἴρηται κἀκεῖ τοὺς πιστεύσαντας».

Τινὲς γοῦν φασι τοὺς προπεπιστευκότας,
Οἵτινές εἰσι Πατέρες καὶ προφῆται,
Κριταί, Βασιλεῖς, σὺν αὐτοῖς καὶ Τοπάρχαι,
Καὶ τινες ἄλλοι τοῦ λαοῦ τῶν Ἑβραίων,
Εὐαρίθμητοι καὶ πρόδηλοι τοῖς πᾶσιν·
Ἡμεῖς δὲ πρὸς ταῦτα ἀντεροῦμεν
Τοῖς δοξάζουσιν ὧδε, ὡς οὔτε δῶρον,
Οὔτε θαυμαστὸν καὶ παράδοξον τοῦτο,
Τὸ σῶσαι Χριστὸν τοὺς πεπιστευκότας·
Ἐπεὶ Κριτὴς δίκαιος ὑπάρχει μόνος,
Καὶ πᾶς ὁ τούτῳ πιστεύσας οὐκ ὀλεῖται.
Ἔδει τοιγαροῦν τούτους σωθῆναι πάντας,
Καὶ τῶν τοῦ ᾅδου δεσμῶν ἀπαλλαγῆναι
Τῇ καταβάσει τοῦ Θεοῦ καὶ Δεσπότου.
Ὅ καὶ γέγονε τῇ τούτου προμηθείᾳ·
Οἱ δέ γε χάριν φιλανθρωπίας μόνης
Σωθέντες ὑπάρχουσιν, ὡς οἶμαι, πάντες·
Ὅσοι τὸν βίον καθαρώτατον εἶχον,
Καὶ πρᾶξιν πᾶσαν ἀρίστην ἐπετέλουν·
Ἰσχνῶς βιοῦντες, ἐγκρατῶς καὶ σωφρόνως,
Τὴν δέ γε πίστιν ἀκραιφνῆ τε καὶ θείαν,
Οὐ κατέλαβον, μὴ γυμνασθέντες ὅλως,
Ἀλλ' ἀδίδακτοι μείναντες τὸ παράπαν,
Τούτους ὁ πάντων ταμίας καὶ Δεσπότης,
Εἵλκυσεν, ἐζώγρησε δικτύοις θείοις,
Καὶ τούτους ὑπέκλινε πιστεῦσαι τούτῳ,
Λάμψας ἐπ' αὐτοὺς τὰς Θεϊκὰς ἀκτῖνας,
Καὶ δείξας αὐτοῖς τὸ φῶς τῆς ἀληθείας,
Οὐ γὰρ ἠνέσχετο ὁ συμπαθὴς τῇ φύσει,
Εἰς κενὸν τούτων τοὺς κόπους γεγενῆσθαι·
Ἐκέκτηντο γὰρ ἐργωδέστατον βίον,
Ἐπίμοχθόν τε καὶ στενὸν ὑπὲρ λόγον
Αὐτοκράτορες τῶν παθῶν γεγονότες,
Καὶ τῶν ἡδονῶν καταπτύσαντες ἅμα,

Ἀκτησίαν τε πᾶσαν ἐξησκηκότες,
Ἐγκράτειάν τε σὺν ἀγρυπνίᾳ πάλιν,
Καὶ πᾶσαν ἁπλῶς ἀρίστην ἐργασίαν·
Οὐκ εὐσεβῶς μέν, ἀλλ' ὅμως διελθόντες,
Τὴν ἀνωτάτω πρόνοιαν ὡς ἐδόκουν,
Ἄριστα σεβόμενοι πλὴν ἐσφαλμένως·
Εἰσὶ δέ τινες, οἳ καὶ τὴν θείαν δόξαν
Τῆς πανσθενουργοῦ κατέλαβον Τριάδος,
Ἰσχνῶς, ἀμυδρῶς, ἀλλ' ἐδόξασαν ὅμως.
Ἄλλοι δὲ τὴν σάρκωσιν εἶπον τοῦ λόγου,
Πάθη τε σεπτὰ καὶ τὴν ἔγερσιν τούτου·
Ἕτεροι δὲ γέννησιν τὴν ἐκ Παρθένου,
Ὀνομασίαν τε ταύτης προειπόντες·
Μαρία γάρ φησιν ὄνομα τῇ κόρῃ·
Αὖθις ἔνιοι προκατέλεξαν πάσας,
Τὰς ὑπερφυεῖς Χριστοῦ θαυματουργίας·
Τῶν νεκρῶν τε καὶ πηρῶν καὶ μογιλάλων
Λεπρῶν, καὶ κωφῶν, καὶ τῶν πυρεκτιώντων,
Παραλελυμένων τε καὶ δαιμονιώντων
Ὑδεριώντων ἅμα καὶ ξηροχείρων,
Καὶ τῆς θαλάσσης τὸν περίπατον, ἔνθεν
Ἄρτων τὴν εὐλόγησιν καὶ τῶν ἰχθύων,
Μεταβολὴν ὕδατος αὖθις πρὸς οἶνον,
Αἱμορροούσης καὶ συγκυπτούσης ἄρδην,
Τὰς ῥώσεις προφήσαντες, σὺν ἄλλοις πλείστοις·
Τούτους ἡ θεία τοῦ Λόγου δυναστεία
Οὐκ ἠνέσχετο παριδεῖν ὀλωλότας,
Οὐδ' ἀπολέσαι τὰς πράξεις τὰς ἀρίστας·
Τὸ γὰρ δανεισθὲν αὐτῷ τοῦ χρόνου μέρος,
Καθὸ προειρήκαμεν, οὐκ ἀμαυροῦται,
Ἀλλὰ φυλαχθὲν ἀποδίδοται πᾶσι
Τοῖς καλῶς βιώσασι μετὰ προσθήκης.
Οἱ δέ γε βίον αἰσχρὸν βεβιωκότες
Καὶ μηδὲν ὅλως τῶν χρηστῶν πεπραχότες,
Σπόρον ἢ καρπὸν μηδόλως κεκτημένοι,
Ἀλλὰ καὶ βίῳ, καὶ λόγῳ τε, καὶ πίστει,

Εἰς ἅπαν ὑπάρχοντες κατεσφαλμένοι,
Οὔτε τῆς βροχῆς τῆς θείας Οὐρανόθεν,
Χυθείσης αὐτοῖς ἐβλάστησαν καθόλου,
Οὐ γάρ, ὡς ἔφθην εἰπών, ἔβαλλον σπόρον·
Οὔτε λάμψαντος τοῦ τῆς δόξης Ἡλίου
Ἐπεπάνθησαν, ὡς ἄκαρποι καθ' ὅλα
Τούτους οὐκ ὀνίνησι Χριστὸς εἰς ἅπαν,
Οὐ συνήγειρεν, ὡς οἶμαι, πεπτωκότας,
Ὡς ἀναξίους παντελῶς σωτηρίας·
Οὔτε μὴν ἐπίστευσαν αὐτῷ δοκεῖ μοι·
Ἐπήρωσε γὰρ αὐτῶν τὰς διανοίας,
Καὶ τοὺς νοεροὺς ὀφθαλμοὺς τῆς καρδίας
Ἡ τοῦ σκότους ἔπαρσις, ὁ πρῶτος δράκων,
Οὗ θεραπευταὶ γεγόνασιν ἐκ πρώτης,
Ἵνα βλέποντες μὴ βλέπωσιν, ὡς θέμις,
Καὶ συνιέντες μὴ συνιῶσιν ὅλως·
Οἱ δ' ἄλλοι πάντες οἱ σπόρον ἐσχηκότες
Ἐπεπάνθησαν τοῦ Ἡλίου φανέντος,
Ἐβλάστησάν τε τῆς βροχῆς γεγονυίας.

Ἴδε ποῦ φέρων ὁ λόγος ἀνήγαγεν ἡμᾶς λῦσαι σὺν Θεῷ καὶ διευκρινῆσαι πρᾶγμα μικροῦ δεῖν κεκαλυμμένον· καὶ τοῦτο οὐκ ἀποφαντικῶς διὰ τὸ ἀνάξιον, ἀλλὰ συλλογιστικῶς διὰ τὸ φιλάδελφον· τούτους ἔσωσεν, ὡς ἔγωγε οἶμαι, ὁ Χριστὸς ἐν τῷ ᾅδῃ κατελθών.

Δέδεικται τοίνυν τῇ τοῦ Χριστοῦ συνεργείᾳ ὅτι περ γέγονε καὶ ἐν τῷ ᾅδῃ ἐξομολόγησις. Ταῦτα δέ φαμεν, οὐχὶ τὴν προφητείαν ἀναιροῦντες, μὴ γένοιτο, ἀλλὰ δεῖξαι βουλόμενοι τὸν ὑπεράγαθον Κύριον ὑπὸ τῆς οἰκείας φιλανθρωπίας νικώμενον, ὥσπερ καὶ τό, τῇ Νινευΐ, καταστραφήσεται· καὶ αὕτη οὐ κατέστραπται, ἀλλὰ νενίκηκε τὴν κρίσιν ἡ ἀγαθότης. Καὶ ἐν τῷ Ἐζεκίᾳ, Τάξαι, φησί, περὶ τοῦ οἴκου σου· ἀποθνήσκεις γὰρ σὺ καὶ οὐ ζήσῃ· καὶ αὐτὸς οὐκ ἀπέθανε. Καὶ ἐν τῷ Ἀχαάβ, ἐπάξω, φησί, κακά, καὶ οὐκ ἐπήγαγεν, ἀλλ' εἶπεν· ἴδε πῶς κατενύγη Ἀχαάβ· διὸ οὐκ ἐπάξω ἐν ταῖς ἡμέραις αὐτοῦ κακά· ἀλλὰ καὶ πάλιν τὴν ἀπόφασιν ἡ ἀγαθότης ὑπερενίκησεν, ὡς καὶ ἐν ἄλλοις πλείστοις κρίμασι· καὶ εἰς ἀεὶ νικήσει μέχρι τῆς ἐσχάτης ἀνταποδόσεως· ὅταν ἡ λῆξις τῆς πανηγύρεως ἥξει καὶ βοηθείας οὐκ ἔστι

καιρός, ἀλλ' ἄνθρωπος καὶ τὸ φορτίον αὐτοῦ· νῦν δὲ καὶ καιρὸς πραγματείας, καιρὸς συναλλάγματος, καιρὸς κόπου, δρόμου καὶ μόχθου, καὶ μακάριος ὁ μὴ ὀκλάσας μήτε χαυνωθεὶς τῇ ἐλπίδι· μακαριώτερος δέ, ὁ καὶ ὑπὲρ ἑαυτοῦ καὶ ὑπὲρ τοῦ πλησίον ἀγωνισάμενος. Τοῦτο γὰρ μᾶλλον καὶ τέρπει, καὶ κατευφραίνει τὸν φιλοικτίρμονα Κύριον, τὸ σπεύδειν ἕκαστον εἰς τὴν τοῦ πέλας βοήθειαν· τοῦτο καὶ θέλει ὁ ἐλεήμων καὶ βούλεται, ἵνα ὑπ' ἀλλήλων οἱ πάντες εὐεργετώμεθα, καὶ ζῶντες καὶ μετὰ θάνατον· οὐ γὰρ ἂν ἡμῖν ἀφορμὴν ἐδεδώκει, τὸ μνήμην ἐπὶ τῆς ἀναιμάκτου θυσίας ποιεῖσθαι τῶν προλαβόντων, καὶ πάλιν τρίτα καὶ ἔνατα καὶ τεσσαράκοντα καὶ τὰς ἐτησίους μνήμας καὶ τελετάς, ἅτινα πάσης ἀντιρρήσεως ἄνευ ἡ καθολικὴ αὐτοῦ καὶ Ἀποστολικὴ Ἐκκλησία, καὶ ὁ ταύτης θεοσύλλεκτος καὶ πανευσεβὴς λαὸς ἀπαρασάλευτα κατέχει καὶ ἀδιάβλητα, εἰ μὴ τοῦτο εὐθὲς ἦν ἐν ὀφθαλμοῖς αὐτοῦ. Πάντως γὰρ εἰ χλεύη τὸ πρᾶγμα ἦν καὶ ἀκερδὲς καὶ ἀνόνητον, πολλῶν γεγονότων θεοφόρων ἁγίων πατριαρχῶν, πατέρων καὶ διδασκάλων, ἐνέσκηψεν ἂν τούτων ἑνὶ καταπαῦσαι τὴν πλάνην· ἀλλ' οὐδεὶς τούτων ἀνατρέψαι τοῦτό ποτε δεδοκίμακε· μᾶλλον μὲν οὖν καὶ κεκύρωκε καὶ ὁσημέραι τὸ πρᾶγμα ἐπαύξεται καὶ προστίθεται, προσθήκην ἐπὶ προσθήκῃ δεχόμενον. Δέον τοίνυν καὶ ἄλλων ἱστοριῶν ἐπιμνησθῆναι πρὸς τούτοις. Γρηγόριος οὖν ὁ Διάλογος ὁ τῆς πρεσβυτέρας Ῥώμης ἐπίσκοπος, ἀνήρ, ὡς ἴσασι πάντες, ἐν ἁγιωσύνῃ καὶ γνώσει ἐξάκουστος· ᾧ, φασί, λειτουργοῦντι οὐράνιος συνελειτούργει καὶ θεῖος ἄγγελος· οὗτός ποτε ἀνὰ τὴν λίθινον πορείαν ποιούμενος, καὶ στὰς ἐξεπίτηδες, εὐχὴν κραταιὰν πρὸς τὸν φιλόψυχον Κύριον ὑπὲρ συγχωρήσεως ἁμαρτιῶν Τραϊανοῦ τοῦ βασιλέως πεποίηκεν· ὃς παραυτίκα φωνῆς θεόθεν ἐνεχθείσης αὐτῷ ἐπακήκοε τάδε φησάσης. Τῆς εὐχῆς σου, φησίν, ἐπήκουσα καὶ συγγνώμην Τραϊανῷ δίδωμι· σὺ δὲ μηκέτι προσθῇς ὑπὲρ ἀσεβῶν εὐχὰς προσενέγκαι μοι. Καὶ ὅτι τοῦτο γνήσιον πέλει καὶ ἀδιάβλητον, μάρτυς ἡ ἑῴα πᾶσα καὶ ἡ ἑσπέριος. Ἰδοὺ τοῦτο τῆς Φαλκονίλλης ὑπέρτερον· ἐκείνη μὲν γὰρ οὐδενὸς ἄλλου κακῶν παραίτιος γέγονεν, οὗτος δὲ πολλῶν μαρτύρων οὐ μικρὸν ἐνεστήσκτο μόρον. Θαυμαστὸς εἶ δέσποτα, καὶ θαυμαστά σου τὰ ἔργα, καὶ σοῦ τὴν ἄφατον εὐσπλαγχνίαν δοξάζομεν, ὅτι πάντοτε πρὸς τὸ φιλάνθρωπον νεύεις, καὶ τοῖς δούλοις σου τὰς ἀφορμὰς παρέχεις, τῆς τε φιλαδελφίας καὶ τῆς πρὸς σὲ βεβαίας πίστεως καὶ ἐλπίδος, καὶ ἐδίδαξας ἡμᾶς διὰ τῶν σῶν θεραπόντων, εὐεργεσίας

ποιεῖν ὑπὲρ ἀλλήλων, ἐξιλασμούς τε καὶ ὁλοκαυτώσεις, ὕμνους καὶ ψαλμῳδίας καὶ προσευχάς, οὐκ εἰκῇ καὶ εἰς μάτην. Σὺ γὰρ ἁπλανὴς καὶ εὐπάροχος, καὶ διδοὺς τοῖς πᾶσιν ὁτιοῦν προσφέρουσιν εἰς δόξαν σου, μυριοπλασίονα τὴν ἀντίδοσιν, καὶ οὐδὲν ὅλως τῶν ἐπὶ τῷ σῷ ὀνόματι γινομένων ἀνόνητον. Μήτις τοιγαροῦν τοῦτο οἰέσθω ἀδελφοὶ καὶ πατέρες, ὅτιπερ ὅσα τῷ Θεῷ μετὰ πίστεως προσφέρονται, οὐ πολλαπλασίονα δίδωσι τὴν ἀντίδοσιν καὶ τὸ ὑφ' οὗ καὶ δι' οὗς προσάγονται· ὥσπερ γὰρ μύρον, ἢ ἕτερον ἅγιον ἔλαιον, ὁ περιχρίειν θέλων νοσοῦντα, πρῶτον ἐκεῖνος εἴτουν ὁ χρίων μετέχει τῆς χρίσεως, εἶθ' οὕτως διαλείφει τὸν κάμνοντα, οὕτω καὶ πᾶς τις ὑπὲρ τῆς τοῦ πλησίον σωτηρίας ἀγωνιζόμενος, πρῶτον ἑαυτὸν ὀνίνησιν, εἶτα τὸν πέλας· οὐ γὰρ ἄδικος ὁ Θεὸς ἐπιλαθέσθαι τοῦ ἔργου κατὰ τὸν θεῖον Ἀπόστολον. Ἀθανάσιος αὖθις ὁ πάνυ, ἐν τῷ εἰς κοιμηθέντας αὐτοῦ παναρμονίῳ λόγῳ, τάδε φησίν. Ὅτι κἂν εἰς ἀέρα ὁ ἐν εὐσεβείᾳ τελειωθεὶς κατατεθῇ, μὴ ἀπαναίνου ἔλαιον καὶ κηρούς, Χριστὸν τὸν Θεὸν ἐπικαλεσάμενος, ἐν τῷ τάφῳ προσάψαι· δεκτὰ γὰρ ταῦτα τῷ Θεῷ καὶ πολλὴν ἐξ αὐτοῦ φέροντα τὴν ἀντίδοσιν· τὸ γὰρ ἔλαιον καὶ ὁ κηρός, ὁλοκαύτωσις· ἡ δέ γε θεία καὶ ἀναίμακτος θυσία, ἐξιλασμός· ἡ δὲ πρὸς τοὺς πένητας εὐποιία, προσθήκη πάσης ἀγαθῆς ἀντιδόσεως. Ἔστω οὖν ὁ σκοπὸς τοῦ τὴν προσαγωγὴν ὑπὲρ τοῦ κεκοιμημένου ποιοῦντος, ὃν τρόπον, ὅταν τις νήπιον ἔχῃ τέκνον, καὶ παντελῶς ἄναρθρον καὶ ἀνίσχυρον, εἶτα νοσοῦντος τούτου καὶ ὑπὲρ αὐτοῦ κηροὺς καὶ θυμίαμα σὺν ἐλαίῳ εἰς θεῖον ναὸν μετὰ πίστεως ἄξῃ, ὁλοκαυτώσῃ τε ταῦτα διὰ τὸν παῖδα· οὐχ ὡς αὐτὸς ὁ παῖς ταῦτα καὶ κρατεῖ καὶ προσάγει ὡς τὰς ἀποταγάς τε καὶ συνταγὰς ἐπὶ τῆς θείας ἀναγεννήσεως, οὕτω καὶ τὸν ἐν Κυρίῳ τελειωθέντα ἐννοείτω καὶ κρατεῖν καὶ προσφέρειν τούς τε κηροὺς καὶ τὸ ἔλαιον, καὶ τὰ εἰς λύτρον αὐτοῦ προσαγόμενα πάντα· καὶ οὕτω Θεοῦ χάριτι τοῦ μετὰ πίστεως σκοποῦ οὐδ' ὅλως ματαιωθήσεται. Πάντα γὰρ οἱ θεηγόροι Ἀπόστολοι, καὶ θυηπόλοι διδάσκαλοι, καὶ πνευματοφόροι πατέρες, ἐν κατοχῇ τοῦ θείου κατὰ τὸ θεμιτὸν γεγονότες, καὶ τῆς ἐκστατικῆς τούτου δυνάμεως ποσῶς μετειληφότες, ἐνθέῳ στόματι θεοφιλῶς ἐθέσπισαν, τὰς λειτουργίας, εὐχάς τε ψαλμῳδίας, ἐτησίους τε μνήμας τῶν προλαβόντων· ἅτινα μέχρι τοῦ νῦν τῇ τοῦ φιλανθρώπου Θεοῦ χάριτι, ἐπαύξουσι καὶ προστίθενται ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν καὶ βορρᾶ καὶ νότου εἰς δόξαν καὶ αἶνον τοῦ

Κυρίου τῶν Κυρίων καὶ βασιλέως τῶν βασιλευόντων. Εἶτα φησὶν ὁ ὑπεναντίος. Εἰ ταῦτα οὕτως ἔχει, οἱ πάντες σωθήσονται καὶ οὐδεὶς ἀστοχήσει· εὖγε τοῦτο καὶ εἴθε· αὐτὸ γὰρ καὶ διψῇ καὶ θέλει, καὶ ζητεῖ καὶ ἐρίεται, καὶ ἐν τούτῳ χαίρει καὶ κατευφραίνεται ὁ ὑπεράγαθος Κύριος, ἵνα μήτις τῶν αὐτοῦ θείων δωρεῶν ἀστοχήσῃ· μὴ ἀγγέλοις τὰ γέρα καὶ τοὺς στεφάνους ἡτοίμασε; μὴ διὰ τὸ σῶσαι τοὺς οὐρανίους νόας ἐπὶ τῆς γῆς παραγέγονε, καὶ ἐκ παρθένου ἀδιαφθόρως σεσάρκωται, καὶ βροτὸς ἐχρημάτισε, καὶ παθῶν καὶ θανάτου ἐγεύσατο; μὴ τοῖς ἀγγέλοις ἐρεῖ· Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν κληρονομήσατε; Οὐκ ἔχεις τοῦτο εἰπεῖν ὁ ἀντιλέγων· ἀλλὰ πάντα διὰ τὸν ἄνθρωπον, ὥστερ πέπονθεν, οὕτω καὶ ἡτοίμασε.

Τίς γὰρ ποιῶν πανδαισίαν καὶ συγκαλέσας τοὺς φίλους, οὐ θέλει πάντας ἐληλυθέναι καὶ τῶν ἑαυτοῦ καλῶν ἐμφορηθῆναι; εἰς τί γὰρ καὶ εὐωχίαν ἡτοίμασεν, ἀλλ' ἢ εἰς τὸ δεξιώσασθαι τοὺς οἰκείους φίλους; Καὶ εἰ οὖν ἡμῖν τοῦτο ἐπίσπουδον, τί ἂν τῷ μεγαλοδώρῳ καὶ μόνῳ φύσει ὑπεραγάθῳ καὶ φιλανθρώπῳ Θεῷ, ὃς νέμων καὶ διδούς, πλείονα χαίρει καὶ ἐπαγγάλλεται, ἢ ὁ λαμβάνων καὶ σωτηρίαν μεγίστην ἑαυτῷ πορίζόμενος; Τοῦτο οὖν σκόπει πᾶς τις ὁ τοῖς ῥήθεῖσιν ἀμφισβητῶν, ὅτι περ ἕκαστος τῶν ἀνθρώπων ὁ μικρὰν ἀρετῶν ζύμην κτησάμενος, μὴ πεφθακὼς δὲ ταύτην ἀρτοποιῆσαι, ἀλλὰ βουληθεὶς μέν, μὴ δυνηθεὶς δὲ τοῦτο, ἢ ῥᾳθυμίας ἢ ἀμελείας, ἢ ἀνανδρίας ἕνεκα, ἢ τῆς ἐξ ἡμέρας εἰς ἡμέραν ἀναβολῆς, ἐπιφθασθεὶς δὲ καὶ θερισθεὶς παρ' ἐλπίδα, οὗτος οὐκ ἐπιλησθήσεται παρὰ τοῦ δικαίου κριτοῦ καὶ δεσπότου, ἀλλ' ἐγερεῖ ὁ Κύριος αὐτῷ μετὰ θάνατον αὐτοῦ τοὺς οἰκείους, καὶ ἀγχιστεῖς καὶ φίλους καὶ τούτων τὰς γνώμας ἰθυνεῖ, καὶ τὰς καρδίας ἑλκύσει, καὶ τὰς ψυχὰς ἐπικάμψει πρὸς ἀρωγήν, καὶ βοήθειαν τούτου· καὶ σπεύσουσι κινηθέντες θεόθεν, ἁψαμένου τοῦ δεσπότου των καρδιῶν αὐτῶν, ἀναπληρῶσαι τοῦ οἰχηθέντος τὰ ὑστερήματα. Ὁ δ' αὖ γε βίον πονηρὸν κεκτημένος, συμπεφυρμένον τε ὅλον ἀκάνθαις, καὶ πλήρη ὄντα ὑλῶν τῶν ἀκαθάρτων, ὃς οὐδέποτε συνειδήσει διῆξεν, ἀλλ' ἀδεῶς καὶ ἀδιοφόρως ταῖς τῶν ἡδονῶν ἐνέκειτο δυσωδίαις, πράττων ἁπάσας τὰς τῆς σαρκὸς ὀρέξεις, καὶ μηδὲν ὅλως περὶ ψυχῆς φροντίζων, ἔχων τε τὸ φρόνημα σαρκικὸν ἅπαν, εἶθ' οὕτως φθασθεὶς ἐκδημῆσαι τοῦ βίου, τούτῳ παντελῶς οὐδεὶς ὀρέξει χεῖρα· ἀλλ' οὕτω πάντα τὰ κατ' αὐτὸν διαπραχθήσεται ὡς μήτε ὑπὸ συνεύνου, ἢ τέκνων, ἢ ἀδελφῶν, ἢ συγγενῶν, ἢ φίλων,

ἐπικουρηθῆναι τὸ σύνολον, ὅτι μηδ' ἔχει Θεὸς ἐν μέτρῳ τοῦτον. Ἔμοιγ' οὖν, καὶ ὅστις ἐμοὶ φίλος γένοιτο, εἰ μὲν οἷόν τε αὐτὸν ἐπικουρῆσαι καὶ μηδὲν καταλεῖψαι ὑστέρημα· εἰδ' ἂν φθασθείην μὴ τετελειωμένος, κἂν ὁ Κύριος ὁ πολὺς ἐν ἐλαίῳ, ἐπικάμψαι μοι τοὺς ἀγχιστεῖς καὶ φίλους, καὶ θερμήναι τούτων τὰς ψυχὰς καὶ καρδίας, ὡς ἂν δι' ἔργων ἀγαθῶν τε καὶ θεαρέστων, ἐπικουρήσωσί μοι λίαν προθύμως, καὶ εἴτι ὡς ἄνθρωπος καταλείψω ὑστέρημα, ἀναπληρώσαιέν μοι μετὰ τὸν πότμον. Ναί, Κύριε, ὁ τῶν θαυμασίων Θεὸς καὶ τῶν ἀπόρων πορισπής μηδὲν εὑρεθείη μοι ἐν τῇ σῇ παρουσίᾳ μικρόν, ἢ μέγα ὑστέρημα, μήτε μὴν πᾶσι τοῖς ἐπὶ σοὶ πεποιθόσιν. Οὕτω γὰρ καὶ ὁ προμνημονευθείς μοι θεορρήμων Χρυσόστομος, διαπρυσίως διδάσκει καὶ κράζει· ἵνα καὶ αὖθις τῶν χρηστοτάτων αὐτοῦ λογίων ἐφάψωμαι. Εἰ, φησίν, οὐκ ἔφθασας περιὼν ἐν τῷ βίῳ τὰ τῆς ψυχῆς σου πάντα διευθετῆσαι, κἂν ἐν τῷ τέλει τοῦ βίου ἔντειλαι τοῖς σοῖς μετὰ θάνατον παραπέμψαι σοι τὰ σά, καὶ βοήθειαν δοῦναί σοι δι' ἔργων ἀγαθῶν, ἐλεημοσυνῶν, λέγω, καὶ προσφορῶν· κἀντεῦθεν τὸν λυτρωτὴν καταλλάξειας· δεκτέα γὰρ αὐτῷ ταῦτα, καὶ πρόσφορα. Καὶ πάλιν ὁ αὐτὸς ἀλλαχοῦ. Γράψον, φησίν, ἐν τῇ σῇ διατυπώσει μετὰ τῶν τέκνων καὶ συγγενῶν συγκληρονόμον, καὶ τὸν δεσπότην· ἐχέτω σου ὁ χάρτης τοῦ δικαστοῦ τὸ ὄνομα, καὶ μνήμης μὴ ἀμοιρείτω πτωχῶν, κἀγὼ τούτων ἐγγυητής. Οὐ δίδομεν τοίνυν ἀφορμὰς καὶ προφάσεις τοῦ ζῶντά τινα μὴ ποιεῖν ἐλεημοσύνας, ἀλλὰ φυλάττειν ταῦτα μετὰ τὸν θάνατον· ἔκτοπον γὰρ τοῦτο πάντῃ καὶ βέβηλον καὶ τῆς θείας νομοθεσίας ἀλλότριον, ἀλλὰ κάλλιστον καὶ θεάρεστον καὶ εἰς ἅπαν εὐπρόσδεκτον, τό, πάντα ἄνθρωπον θεοσεβῆ καὶ φιλόχριστον, καθαίρειν ἑαυτὸν δι' ἀγαθοεργίας παντοίας, ἀπεχόμενον πάσης ἀκαρθασίας, ἐχόμενον δὲ τῶν τοῦ Θεοῦ φαεινῶν προσταγμάτων, ὡς ἂν πρὸς τὸ τέλος ἐληλακώς, μετὰ παρρησίας λέξῃ πρὸς τὸν δεσπότην. Ἑτοίμη ἡ καρδία μου ὁ Θεός, ἑτοίμη ἡ καρδία μου. Καὶ οὕτως ἡδέως προσυπαντήσοι τοῖς ἐπείκταις ἀγγέλοις. Ἀλλ' ἐπεὶ τοῦτο μέν, ὀλίγοι καὶ ὀλιγάκις κατὰ τὸν τοῦ δεσπότου λόγον, ὅτι ὀλίγοι φησὶν οἱ σωζόμενοι· καί τοι γε τοῦτο οὐχ ἁπλῶς εἴρηκεν ἡ τῶν ὅλων σοφία, ἀλλ' ὡς ἄν τις εἴποι θαυμαστικῶς, τί ὀλίγοι οἱ σωζόμενοι; Τοῦτο λοιπὸν ἐπιστάμενοι, ὅτι ἐργῶδες λίαν εὑρεθῆναί τινα τῆς πρώτης μερίδος, ἐξ ἀνάγκης ἐπάγομεν τὴν δευτέραν, ἀποστολικαῖς τε καὶ πατρικαῖς ἑπόμενοι ῥήσεσιν· ὡς καὶ τοὺς κατοιχομένους Θεοῦ ἀγαθότητι ὠφελεῖσθαι,

καὶ τὴν φιλαδελφίαν ἐπαυξάνεσθαι, καὶ τὴν τῆς ἀνκστάσεως ἐλπίδα βεβαιοῦσθαι, καὶ τὴν πρὸς Θεὸν εὐχὴν καὶ πίστιν κρατύνεσθαι, καὶ τὴν περὶ τοὺς θείους ναοὺς συνδρομὴν θερμομέτρως πληθύνεσθαι, καὶ τὴν εἰς τοὺς πένητας εὐποιΐαν πλατύνεσθαι.

«Ἴδετε κατὰ πόσους τρόπους τὸ πρᾶγμα ἐπικερδὲς καὶ ὠφέλιμον, καὶ πόσων ὑποθέσεων ἡ τῶν κατοιχομένων ὠφέλεια· ἀφορμὴ γὰρ γίνεται σωτηρίας τῶν καταλεγέντων, ἐπεί, εἰ τὸ αἴτιον ἀναιρέσεις, πάντως καὶ τὰ τούτου ἀκόλουθα· τίς γὰρ ἀνάγκη τοὺς μικροψύχους διαναστῆναι πεῖσαι καὶ ταύτην διαπράξασθαι, εἰμὴ πληροφορίαν ἔχουσι τοῖς ἑαυτῶν ὠφελεῖν; παύσονται δὲ καὶ αἱ περὶ τὰς διατυπώσεις τῶν πενήτων ἐγγραφόμεναι μοῖραι, καὶ σὺν ταύταις καὶ αἱ ὑπὲρ τῶν νεκρῶν λειτουργίαι, ὑμνῳδίαι τε καὶ ψαλμῳδίαι. τεσσαρακοστὰ σὺν τριενάτοις, καὶ ἐτήσιοι μνῆμαι καὶ τελεταί, αἵτινες οὐκ εἰς μάτην παρὰ τῶν διδασκάλων ἐπενοήθησαν· ἀλλὰ μὴ γένοιτο ἢ δοξάσαι καθόλου, ἢ παραλείψασθαί τι τούτων».

«Εἰ δέ τις λέγει περὶ τῶν ξένων καὶ πενήτων, οἳ τοὺς ὑπὲρ αὐτῶν ἀγωνισομένους οὐ κέκτηνται, οὔτε μὴν λειτουργιῶν ἢ διαδόσεων ἀπόμοιραν καταλιπεῖν ἐξισχύουσι· τί ἁρά φησιν οὗτοι; μὴ διὰ τὸ ἀπορεῖν αὐτοὺς καὶ ξένους ὑπάρχειν, καὶ παραλελογισμένους καὶ συμπόνους μὴ ἔχειν ἀστοχήσωσι σωτηρίας; οὐκοῦν ἄδικος ὁ Θεός, ἵνα τῷ ἔχοντι δώσῃ, τῷ δὲ μὴ ἔχοντι παράξῃ οὐδέν; ἄπαγε! τοῦτο πᾶς τις ἐξ αὐτοῦ· καὶ γὰρ δίκαιος καὶ δεσπότης, ἢ μᾶλλον εἰπεῖν ἀληθέστερον αὐτοδικαιοσύνη καὶ σοφία καὶ δύναμις ἐνυπόστατος· ὡς οὖν δίκαιος, ἀντιμετρήσει τῷ ἀπόρῳ τὰ εὔπορα· ὡς δὲ σοφός, τὴν ὑστερημάτων καταλογὴν πραγματεύσεται· ὡς δυνατὸς δὲ τὸν ἰσχυρὸν κατεάξει καὶ τὸ ἀσθενὲς ἐνισχύσει, ὡς δὲ ἀγαθός, τὸ τῶν οἰκείων χειρῶν διασώσει πλαστούργημα, εἰ μή τίς ἐστι τῶν προδήλως κατεγνωσμένων καὶ τῶν τῆς ὀρθῆς πίστεως ἀποπτύστων, καὶ οὗτινος ἡ εὐώνυμος πλάστιγξ ἐπὶ πολὺ βαρυνθήσεται· φασὶ γὰρ οἱ φωτισθέντες θεόθεν ἄνδρες, ὅτι περ ὡς ἐν ζυγῷ ἐν τῇ ὑστάτῃ πνοῇ αἱ τῶν ἀνθρώπων δοκιμάζονται πράξεις, καὶ εἰ μὲν τῆς εὐωνύμου πλάστιγγος ἡ ἑτέρα ὑπερέξει εὐδήλον ὡς ἐν τοῖς δεξιοῖς ἀγγέλοις ὁ τυχὼν ἐναποψύξειεν· εἰ δ' αὖ ἐξίσου ἀμφότερα, νικᾷ πάντως ἡ τοῦ Θεοῦ φιλανθρωπία· ἀλλ' ὥς φασιν οἱ θεηγόροι, εἰ καὶ μικρὸν ἡ τρυτάνη ἢ ἐν εὐωνύμοις νεύσει, καὶ τηνικαῦτα ὁ τοῦ Θεοῦ ἔλεος ἀναπληροῖ τὸ λοιπόν. Ἰδοὺ τρεῖς αἱ τοῦ Δεσπότου θεῖαι κρίσεις· ἡ μὲν πρώτη δικαία· ἡ δὲ

δευτέρα φιλάνθρωπος· ἡ δὲ τρίτη ὑπεράγαθος, εἶτα ἐκ τούτων ἡ τετάρτη, ὁπόταν αἱ πονηραὶ πράξεις ὑπερσταμισθῶσιν ἄγαν, οἴμοι, ἀδελφοί, καὶ αὕτη δικαιοτάτη πάντως, δίκαια θεσπίζουσα τοῖς κεκριμένοις».

«Εἰ δέ τινες λέγοιεν περὶ Βασιλείου τοῦ μάκαρος καὶ οἰκουμενικοῦ φωστῆρος ὡς εἰρηκότος αὐτοῦ· μὴ πλανᾶσθε· Θεὸς οὐ μυκτηρίζεται, νεκρὸς εἰς θυσιαστήριον οὐκ ἀνάγεται· ζῶσαν, φησι, προσάγαγε τὴν θυσίαν· μὴ δύνασαι ἐκ τῶν τῆς τραπέζης σου λειψάνων τοὺς λαμπροὺς δεξιώσασθαι τοῦ Βασιλέως; καὶ γὰρ ὁ ἐκ τοῦ περισσεύματος προσφέρων ἀπρόσδεκτος· σὺ δέ, ἃ μετὰ πᾶσαν τὴν ζωὴν ἐπερίσσευσε, ταῦτα προσφέρεις τῷ εὐεργέτῃ; ἐροῦμεν· καλῶς ὁ μέγας Βασίλειος καὶ λαλεῖ καὶ διδάσκει· ἀλλ' ἴδε καὶ πρὸς τίνας λαλεῖ· πρὸς πλεονέκτας, πρὸς ἅρπαγας, πρὸς παντελῶς ἀσπόνδους τε καὶ ἀνελεήμονας, ὡς αὐτὸς μαρτυρεῖ λέγων· Λιθίνῃ διαλεγόμεθα καρδίᾳ καὶ ὅτι ὃν μὲν ἔζησας χρόνον καθηδυπαθῶν τοῦ βίου καὶ ἐν τῇ τρυφῇ διαρρέων, οὐδὲ προσβλέπειν ἠνείχου τοὺς πένητας, ἀποθανόντος δὲ ποῦ, ποῖος μισθὸς ἐργασίας ὀφείλεται; καὶ αὖθις, ὅτι ἐπισκοτεῖ με ἡ οἰκία τοῦ γείτονος· καὶ ὅτι ὁ πλεονέκτης οὐκ αἰδεῖται χρόνον οὔτε γνωρίζει ὅρια ἀλλὰ πυρὸς δίκην πάντα καταλαμβάνει καὶ ἐπινέμεται, καὶ ὡς ποταμὸς ὁρμηθεὶς τῇ φορᾷ παρασύρει τὸ ἐνιστάμενον, καὶ ἕτερα τούτοις ἐφάμιλλα, ἅτινα πάντες ἴσασιν οἱ ἐμμελῶς τῇ πανιέρῳ τούτου βίβλῳ προσεπικύψαντες, ὅτι πρὸς τοὺς μηδαμῶς τοῖς πένησιν ἐντολὴν δεδωκότας, ἀλλὰ καὶ τὰ τούτων ἁρπάζοντας ὁ λόγος ἐξήρτηται».

«Καὶ μή τις εἴπῃ· καὶ ποῦ, φησίν, εὑρεθῆναι τοιοῦτον ἄνθρωπον, πλούτῳ κομῶντα καὶ τοὺς πένητας μὴ οἰκτείροντα, καθὰ καὶ προείρηται ἐν πολλοῖς μὲν καὶ ἄλλοις χρόνοις, ἐν οἷς καὶ ἐν τοῖς τοῦ ἀοιδίμου καὶ πανοσίου Ἰωάννου τοῦ Ἐλεήμονος, ὁ μετελθὼν ἐξ ἀσπονδίας εἰς παντελῆ ἐλεημοσύνην καὶ ὁσιότητα Πέτρος ὁ τελώνης ποτέ· φέρεται γὰρ ἐν τῇ τούτου τῇ πανολβίᾳ τοῦ βίου δέλτῳ, ὅτι, φησίν, ἐν ἐκστάσει αὐτοῦ γεγονότος καὶ τὰς οἰκείας πράξεις σταθμιζομένας θεασαμένου, κατιδεῖν λέγεται σιλίγνιον ἓν ἐν τῇ δεξιᾷ τοῦ ζυγοῦ πλάστιγγι, ὃ καὶ μετ' ὀργῆς ἀντὶ λίθου εἰς τὸ τοῦ πένητος κατέλευσε πρόσωπον, δι' ἧς ὀπτασίας εἰς τὸ λίαν θεοσεβὲς κατηντηκέναι δέδεικται ὁ μακάριος οὗτος Πέτρος».

«Ἰδοὺ τοιγαροῦν ἀναμφιβόλως ἐγνώριστται πρὸς οἵους ὁ μέγας Βα-

σίλειος τὸν λόγον ἐσκεύασε, γέγονε γὰρ καὶ λιμὸς τηνικαῦτα ἰσχυρὸς κατ' ἐκεῖνον τὸν χρόνον καὶ οἱ μὲν πλουτοῦντες τῇ φιληδονίᾳ νικώμενοι τὰς ἀποθήκας ἔκλειον, οἱ δὲ πένητες τῷ λιμῷ διεφθείροντο· ἤνοιξε τοίνυν οὗτος ὁ θεῖος ποιμὴν τοῖς ἀποτόμοις αὐτοῦ καὶ καθαπτικοῖς, ἅμα καὶ κατανηκτικωτάτοις λόγοις τὰς τῶν ἐχόντων ἀδεῶς ἀποθήκας· εἰ μὴ γὰρ οὕτως ἀπέφηνεν, οὐκ ἂν οἱ πένητες διετράφησαν, οὔτε μὴν οἱ πλουτοῦντες πρὸς οἶκτον ἐκάμφθησαν, καὶ ὁ μὲν ταῦτα».

Ἡμεῖς δὲ σπεύσωμεν ὅση ἡμῖν δύναμις ἐπὶ τῆς φρικώδους καὶ φοβερᾶς παρουσίας, τῆς δευτέρας φημί, τοῦ Κυρίου παρουσίας, ὑπὸ τῶν οἰκείων μὴ ἐγκληθῆναι, ὡς τὰ ὑπὲρ αὐτῶν ἀμελήσαντες· καὶ μάλιστα οἱ παρ' αὐτῶν ἐπιτροπὰς λαβόντες καὶ παραθήκας· μή γαρ οἰέσθω τις ὅτι οὐκ ἀναγνωρισμὸς ἑκάστου πρὸς ἕκαστον ἐπὶ τῆς φοβερᾶς ἐκείνης συναγωγῆς γενήσεται· ναί, ὄντως ἕκαστος ἀναγνωριεῖ τὸν πλησίον αὐτοῦ, οὐ τῷ τοῦ σώματος σχήματι, ἀλλὰ τῷ διορατικῷ τῆς ψυχῆς ὄμματι· πόθεν ἀπαιτεῖς, τοῦτο παραστησόμεθα ; ἄκουε τοῦ Δεσπότου Χριστοῦ ἐν τῇ τοῦ πτωχοῦ Λαζάρου παραβολῇ ἀριδήλως διδάσκοντος· ὅτι, φησίν, «ἐπάρας τοὺς ὀφθαλμοὺς ὁ πλούσιος, ἐγνώρισε τὸν πτωχὸν Λάζαρον ἐν τῷ τοῦ Πατριάρχου Ἀβραὰμ κόλπῳ καθήμενον, ὡσαύτως δὲ καὶ τὸν Ἀβραάμ· καὶ μή τις εἴπῃ διὰ τὸ παραβολὴν εἶναι τὸ πρᾶγμα, τὸν σκοπὸν ὑπάρχειν ἀναπόδεικτον· αἱ γὰρ τοῦ Σωτῆρος ἡμῶν θεῖαι παραβολαί, πραγμάτων εἰσὶν ἑστώτων, ἐνδεχομένων, καὶ ἀποδεδειγμένων».

Ὁ δὲ Χρυσόστομος Ἰωάννης τάδε φησίν· «ὡς οὐ μόνον τοὺς ὧδε γνωστοὺς γνωριοῦμεν, ἀλλὰ καὶ τοὺς μηδέποτε εἰς ἡμετέραν ἀφιγμένους θέαν θεωρήσομεν καὶ γὰρ τὸν Ἀβραὰμ οὐχ ἑώρακας, οὐδὲ τὸν Ἰσαάκ, οὐδὲ τὸν Ἰακώβ, οὐδὲ τοὺς ἀρχιπάτορας, οὐ τοὺς Προφήτας, καὶ Ἀποστόλους, καὶ Μάρτυρας· ἀλλ' ἰδὼν τούτους ἐπὶ τῆς καθολικῆς ἐκείνης καὶ φρικτῆς πανηγύρεως γνωρίσας ἐρεῖς· ἰδοὺ Ἀβραάμ, καὶ Ἰσαάκ, καὶ Ἰακώβ, καὶ οἱ λοιποὶ Πατριάρχαι, ἰδοὺ Δαβὶδ ὁ θεοπάτωρ καὶ Προφητῶν ὁ ἐσμός, ἰδοὺ ὁ Πρόδρομος Ἰωάννης, ἰδοὺ Πέτρος καὶ Παῦλος, καὶ πάντες οἱ Ἀπόστολοι καὶ Στέφανος ὁ πρωτομάρτυς καὶ ἡ πληθὺς τῶν Ἁγίων». Εἶτ' αὖθις ὁ πολὺς τὰ θεῖα Βασίλειος πρὸς τοὺς πλεονέκτας διαλεγόμενος, «οὐ πρὸ ὀφθαλμῶν, φησί, λήψῃ τὸ τοῦ Χριστοῦ δικαστήριον, ἐπειδάν σοι κύκλῳ παριστάντες οἱ παρὰ σοῦ ἠδικημένοι καταβοῶσί σου ; ὅπου γὰρ ἂν περιάγῃς τούς ὀφθαλμούς, ἐναργεῖς ὄψει τῶν κακῶν τὰς εἰκόνας. Ἔνθεν τοὺς ὀρφα-

νούς, ἐκεῖθεν τὰς χήρας, ἑτέρωθεν τοὺς κατακονδυλισθέντας ὑπὸ σοῦ πένητας· τοὺς οἰκέτας οὓς κατέξαινες, τοὺς γείτονας οὓς παρώργιζες, καὶ τὰ τούτων ἑξῆς».

Ὁ δὲ τῆς τοῦ Χριστοῦ δευτέρας παρουσίας ἀκριβέστατος μύστης Ἐφραὶμ ὁ μακάριος, οὕτως διδάσκει. τότε, φησί, τέκνα τοὺς ἑαυτῶν κατακρινοῦσι γονεῖς, ὡς μὴ τὰ χρηστὰ διαπραξαμένους ἔργα· καὶ ὅτι βλέπουσι τοὺς γνωρίμους ἐν τῇ ὥρᾳ ἐκείνῃ οἱ ἄθλιοι· καὶ ὁπόταν τινὰς ἐξ αὐτῶν τοῖς δεξιοῖς ἴδωσι καταταχθέντας μέρεσι, ἀποχωριζόμενοι θρηνοῦσι τὸ συντακτήριον. Καὶ αὖθις ὁ τῆς θεολογίας ἐπώνυμος, τότε, φησίν, ὄψομαι Καισάριον λαμπρόν, ἔνδοξον, ἀγαλλόμενον, οἷός μοι κατ' ὄναρ ὤφθης, ἀδελφῶν φίλτατε. Εἶτα ὁ ἐν βίῳ καὶ λόγῳ περίβλεπτος καὶ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας θεμέλιος Ἀθανάσιος, τάδε φησὶ περὶ τῶν ἐν Κυρίῳ νεκρῶν· Ὅτι περ καὶ τοῦτο ὁ Θεὸς τοῖς σωζομένοις κεχάρισται, τὸ μέχρι τῆς κοινῆς Ἀναστάσεως ἀλλήλοις ψυχικῶς συνεῖναι καὶ συνευφραίνεσθαι ἀπεκδοχὴν ἔχοντας τῶν μελλόντων αὐτοῖς ἀποκληροῦσθαι θείων δωρεῶν. Οἱ δὲ ἁμαρτωλοὶ καὶ ταύτης τῆς παραμυθίας ὑστέρηνται· οὐ γὰρ ἔχουσι τὸ διαγνωστικὸν ἐν ἀλλήλοις· ἐν ἐκείνῳ δὲ τῷ πανδήμῳ θεάτρῳ, καθὼς αἱ πράξεις ἀνακεκαλυμμένων πάντων, οὕτω καὶ τὰ πρόσωπα γνώριμα πᾶσιν, ἕως οὗ ὁ πάντων ἔσχατος γένηται χωρισμός, καὶ ἀποπεμφθήσεται πᾶς τις, εἰς ὃν ἡτοίμασε τόπον ἑαυτῷ· οἱ μὲν δίκαιοι μετὰ θεοῦ καὶ ἀλλήλων, οἱ δὲ ἁμαρτωλοὶ ἐν τοῖς ἐκτόποις ἢ καὶ μετ' ἀλλήλων· ἀλλ' ὅμως ἀγνώστως· ἀπεστέρηνται γάρ, καθὰ προείρηται, καὶ τῆς τοιαύτης παραμυθίας.»

«Ποία δὲ ἄρα αἰσχύνη τοῖς κατηισχυμένοις γενήσεται, εἰμὴ κατάδηλοι τοῖς πᾶσιν ὦσι; τότε γὰρ χαλεπὴ καὶ μεγίστη αἰσχύνη, ὅταν καὶ γνωρίζῃ τις καὶ γνωρίζηται πάλιν· πᾶς γὰρ αἰσχυνόμενος τοὺς ἐγνωκότας αὐτὸν αἰσχύνεται· ἐπεὶ τῷ ἐν ἀγνώστοις ἀγνώστῳ οὐδεμία μικροῦ δεῖν αἰσχύνη καταισχυνομένῳ γενήσεται· ἀναμφίβολον οὖν τοῦτο καὶ ἀναντίρρητον, ὡς ἀριδήλως ἀλλήλους γνωριοῦμεν οἱ πάντες, καὶ τότε ὁ ἔλεγχος πάντων τῶν ἀπρεπῶς βιωσάντων κατ' ὀφθαλμοὺς ἑκάστῳ γενήσεται».

«Ἀβάλαι τοίνυν τοῖς κατ' ἐμὲ πᾶσι καὶ οὐαί, κατὰ τὸν θεῖον Ἐφραίμ, τοῖς ἐξ ἀριστερῶν λαχοῦσι· μακάριοι δὲ καὶ παμμάκαρες, οὓς ὁ Δεσπότης ἐκ δεξιῶν καθιδρύει, φωνὴν τ' ἀκουτίσειν εὐλογημένην, ἧς ἀξιωθείημεν πάντες ἀκοῦσαι, φυλάξαντες τὴν ὀρθόδοξον

πίστιν, καὶ τῶν ἀγαθῶν ἐμφορηθῆναι πάντων, ὧν τὸ κάλλος ὄμμα βροτῶν οὐκ οἶδεν, οὔτε μὴν ὦτα παράπαν ἠκηκόει, οὔτε καρδία λελόγισται καθ' ὅλα· ἀμήν· γένοιτο». Δέσποτα Ζωοδότα ταῖς ἐντεύξεσι τῆς Πανάγνου Μητρός Σου καὶ τῶν ἀΰλων καὶ σεβαστῶν Σου Νόων, καὶ πάντων ὁμοῦ, Λόγε, τῶν Σῶν Ἁγίων τῶν ἀπ' αἰῶνός Σοι εὐαρεστησάντων· ἀμήν.» (Δαμασκ. Τόμ. Α'. σελ. 597).

Ὁ δὲ θεῖος Διονύσιος ἐν Κεφ ζ'. περὶ τῶν ἐπὶ τοῖς κεκοιμημένοις τελουμένων λέγει: Εἶτα προσελθὼν ὁ θεῖος ἱεράρχης, εὐχὴν ἱερὰν ἐπὶ τῷ κεκοιμημένῳ ποιεῖται· ἡ μὲν οὖν εὐχὴ τῆς θεαρχικῆς ἀγαθότητος δεῖται, πάντα μὲν ἀφεῖναι τὰ δι' ἀνθρωπίνην ἀσθένειαν ἡμαρτημένα τῷ κεκοιμημένῳ, κατατάξαι δὲ αὐτὸν ἐν φωτὶ καὶ χώρᾳ ζώντων, ἐν κόλποις Ἀβραὰμ καὶ Ἰσαάκ, καὶ Ἰακώβ, ἐν τόπῳ, οὗ ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός (Διονυσ. Ἀρεοπ. Τόμ. Α'. ἐκκλ Ἱερ. ζ'. Σελ. 267).»

«Ὁ θεῖος ἱεράρχης ἐκφαντορικός ἐστιν, ὡς τὰ λόγιά φησι, τῶν θεαρχικῶν δικαιωμάτων· ἄγγελος γὰρ Κυρίου Παντοκράτορος Θεοῦ ἐστι. Μεμάθηκεν οὖν ἐκ τῶν θεοπαραδότων λογίων, ὅτι τοῖς ὁσίως βιώσασιν ἡ φανοτάτη καὶ θεία ζωὴ κατ' ἀξίαν ὑπὸ τῶν δικαιοτάτων ζυγῶν ἀντιδίδοται, παρορώσης ἀγαθότητι τῆς θεαρχικῆς φιλανθρωπίας τὰς ἐγγενομένας αὐτοῖς ἐξ ἀνθρωπίνης ἀσθενείας κηλῖδας. Ἐπείπερ οὐδείς, ὡς τὰ λόγιά φησι, καθαρὸς ἀπὸ ῥύπου· ταῦτα μὲν οὖν ὁ ἱεράρχης οἶδεν ἐπηγγελμένα πρὸς τῶν ἀληθῶν λογίων, αἰτεῖ δὲ αὐτὰ γενέσθαι, καὶ δωρηθῆναι τοῖς ὁσίως βιώσασι τὰς ἱερὰς ἀντιδόσεις, ἅμα μὲν ἐπὶ τὸ θεορίμητον ἀγαθοειδῶς ἐκτυπούμενος καὶ τὰς ἑτέρων δωρεάς, ὡς οἰκείας ἐξαιτῶν χάριτας, ἅμα δὲ καὶ τὰς ἀψευδεῖς εἰδὼς ἐσομένας, καὶ τοῖς παροῦσιν ἐκφαντορικῶς ἐμφαίνων, ὅτι τὰ παρ' αὐτοῦ κατὰ θεσμὸν ἱερὸν ἐξαιτούμενα πάντως ἔσται τοῖς κατὰ θείαν ζωὴν τετελειωμένοις (αὐτόθι Σελ. 268).»

Οὕτω καὶ τὰς ἀφοριστικὰς ἔχουσιν οἱ ἱεράρχαι δυνάμεις, ὡς ἐκφαντουργικοὶ τῶν θείων δικαιωμάτων, οὐχ ὡς ταῖς αὐτῶν ἀλόγοις ὁρμαῖς τῆς πανσόφου Θεαρχίας, εὐφήμως εἰπεῖν, ὑπηρετικῶς ἑπομένης, ἀλλ' ὡς αὐτῶν ὑποφητικῶς ὑποκινοῦντι τῷ τελεταρχικῷ πνεύματι τοὺς κεκριμένους Θεῷ κατ' ἀξίαν ἀφοριζόντων. «Λάβετε γάρ, φησί, τὸ Πνεῦμα τὸ ἅγιον· ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας ἀφίενται· ἄν τινων κρατῆτε, κεκράτηνται». καὶ τῷ τὰς θείας ἀποκαλύψεις τοῦ παναγεστάτου Πατρὸς ἐλλαμπομένῳ τὰ λόγιά φησιν· «Ὃ ἐὰν δήσῃς

ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον ἐν τοῖς Οὐρανοῖς καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς ἔσται λελυμένον ἐν τοῖς Οὐρανοῖς»· ὡς ἐκείνου καὶ παντὸς τοῦ κατ' αὐτὸν ἱεράρχου κατὰ τὰς ἐν αὐτῷ γενομένας τῶν πατρικῶν δικαιωμάτων ἀποκαλύψεις ἐκφαντορικῶς καὶ διαπορθμευτικῶς τούς τε θεοφιλεῖς προσιεμένου καὶ τοὺς ἀθέους ἀποκληροῦντος. Καὶ τὴν ἱερὰν γὰρ ἐκείνην θεολογίαν, ὡς τὰ λόγιά φησιν, οὐκ αὐτοκινήτως, οὐδὲ σαρκὸς καὶ αἵματος ἀποκαλυψάντων, ἀλλ' ὑπὸ Θεοῦ νοητῶς αὐτὸν τὰ θεῖα μυήσαντος ἀπεφθέγξατο. Τοὺς μὲν οὖν ἐνθέους ἱεράρχας οὕτω καὶ τοῖς ἀφορισμοῖς, καὶ πάσαις ταῖς ἱεραρχικαῖς δυνάμεσι χρηστέον, ὅπως ἂν ἡ τελετάρχις αὐτοὺς θεαρχία κινήσοι, τοὺς δὲ ἄλλους οὕτω τοῖς ἱεράρχαις, ἐν οἷς ἂν δρῶσιν ἱεραρχικῶς, προσεκτέον, ὡς ὑπὸ Θεοῦ κεκινημένοις· «Ὁ ἀθετῶν γὰρ ὑμᾶς, φησίν, ἐμὲ ἀθετεῖ» (αὐτόθι Σελ. 269—270)

«Τί χρὴ καὶ λέγειν (γράφει ἐπιστ. κς' ὁ Γλυκᾶς περὶ τῆς ἰσχύος »τῶν ἱερῶν Εὐχῶν)· ὃ γὰρ ποιῆσαι τὰ τοῦ Κόσμου διδόμενα πένη»σιν οὐκ ἰσχύουσι, τοῦτο εὐχὴ δικαίου παραδόξως ἐποίησεν· ὁ γὰρ »Διάλογος μέγας Γρηγόριος τοῦ Θεοῦ δεηθεὶς ὑπὲρ συγχωρήσεως »ἁμαρτιῶν Τραϊκνοῦ τοῦ βασιλέως, τοῦ ἐν ἀσεβείᾳ τὸν βίον καταλύ»σαντος οὐ διήμαρτε τῆς αἰτήσεως».

Καὶ ὁ Ζωναρᾶς εἰς τὸν βίον Μιχαὴλ τοῦ Αὐτοκράτορος υἱοῦ Θεοφίλου. «Καὶ τὴν βασίλισσαν θερμότατά φησι δεηθῆναι τοῦ τε Πα»τριάρχου καὶ τῶν ἄλλων Ἀρχιερέων καὶ Μοναχῶν κοινὴν προσενεγ»κεῖν δέησιν τῷ Θεῷ, ὥστε σωτηρίας τυχεῖν τὸν βασιλέα καὶ ξυνευ»νέτην αὐτῆς καὶ μέντοι θερμότατα δεηθῆναι αὐτοὺς τοῦ Θεοῦ, καὶ »τοῦ μὴ παριδεῖν τὴν αἴτησιν τῶν θεραπόντων αὐτοῦ, ἀλλ' ἀξιῶσαι »συγγνώμης τὸν βασιλέα Θεόφιλον. Ἀπιστήσει δ' οὐδεὶς ἢ ὅστις οὐ »μέγα οἴεται δύνασθαι τὰς τῶν Ἁγίων ἐντεύξεις τὰς πρὸς τὸν Θεόν, »οὐδ' ἀντιμετρεῖν οἶδε τὴν τοῦ Θεοῦ ἀγαθότητα πρὸς τὰ ἀνθρώπινα »ἀγνοήματα». Τὰ αὐτὰ γράφει καὶ ὁ Γεννάδιος, καὶ Νικηφόρος ὁ Κάλλιστος, καὶ Νικόλαος ὁ Ἀθηνῶν, καὶ ἄλλοι πολλοί.

Ὁ Ἱεροσολύμων Κύριλλος (380 Μ.Χ.) ἐν τῇ Θείᾳ μυσταγωγίᾳ γράφει περὶ τῆς μνήμης τῶν κεκοιμημένων τὰ ἑξῆς·

«Εἶτα δεόμεθα καὶ ὑπὲρ τῶν προκεκοιμημένων ἁγίων Πατέρων καὶ »Ἐπισκόπων καὶ πάντων ἁπλῶς τῶν ἐν ἡμῖν προκεκοιμημένων μεγί»στην ὄνησιν πιστεύοντες ἔσεσθαι ταῖς ψυχαῖς, ὑπὲρ ὧν ἡ δέησις »ἀναφέρεται τῆς ἁγίας καὶ φρικωδεστάτης προκειμένης θυσίας. Καὶ

»βούλομαι ὑμᾶς ἀπὸ παραδείγματος πεῖσαι· οἶδα γὰρ πολλοὺς τοῦτο »λέγοντας· τί ὠφελεῖται ψυχὴ μετὰ ἁμαρτημάτων ἀπαλλασσομένη »τοῦδε τοῦ κόσμου, ἢ οὐ μετὰ ἁμαρτημάτων, ἐὰν ἐπὶ τῆς προσευχῆς »μνημονεύηται; ἆρα γὰρ εἴτις βασιλεὺς προσκεκρουκότας αὐτῷ ἐξορί»στους ποιήσειεν, εἶτα οἱ τούτοις διαφέροντες στέφανον πλέξαντες »ὑπὲρ τῶν ἐν τιμωρίαις αὐτῷ τοῦτον προσενέγκοιεν, οὐκ ἂν αὐτοῖς »ἄνεσιν δῴη τῶν κολάσεων; τὸν αὐτὸν τρόπον καὶ ἡμεῖς ὑπὲρ τῶν »κεκοιμημένων αὐτῷ τὰς δεήσεις προσφέροντες, κἂν ἁμαρτωλοί ὦσιν, »οὐ στέφανον πλέκομεν, ἀλλὰ Χριστὸν ἐσφαγιασμένον ὑπὲρ τῶν ἡμε»τέρων ἁμαρτημάτων προσφέρομεν, ἐξιλεούμενοι ὑπὲρ ἡμῶν καὶ αὐ»τὸν τὸν φιλάνθρωπον.» Ἄριστα δὲ διαλαμβάνει περὶ τούτου καὶ ὁ Χρυσορρήμων ἐν τῷ ἠθικῷ τῆς μα΄. Ὁμιλ. εἰς τὴν Α΄. πρὸς Κορινθ. οὗ ἡ ὑπόθεσις περὶ τοῦ μὴ πενθεῖν πικρῶς τοὺς τελευτῶντας.

Ὁ Ἅγιος Ἀναστάσιος Πατριάρχης Ἀντιοχείας ἐν τῇ κδ΄ ἐρω»τήσει. «Ποῖα ἁμαρτήματα συγχωροῦνται μετὰ θάνατον διὰ λειτουρ»γιῶν καὶ εὐχῶν καὶ ἐλεημοσυνῶν τῶν γινομένων ὑπὲρ τῶν κοιμηθέντων»; λέγει, ὅτι μεγάλης ὠφελείας εἰσὶ πρόξενα τὰ Μνημόσυνα τοῖς ἀποιχομένοις πιστοῖς.

Ὁ Τερτυλιανὸς (200 Μ. Χ.) μνημονεύει συνεχῶς τῶν λειτουργιῶν τῶν γιγνομένων ὑπὲρ τῶν κεκοιμημένων καὶ ἰδιαιτέρως ἐν τῷ χωρίῳ τοῦ βιβλίου de corona militis c. 3. «Ποιοῦμεν, λέγει, θυσίας καὶ δεήσεις ὑπὲρ τῶν κεκοιμημένων, ποιοῦμεν ἰδίως ἐν τῇ ἐπετείῳ ἡμέρᾳ τῶν γενεθλίων.»

Ὁ Ἅγιος Ἀμβρόσιος (330—397) ἐτέλει λειτουργίας ὑπὲρ τοῦ Οὐαλεντινιανοῦ, τοῦ Θεοδοσίου, καὶ ὑπὲρ ἀδελφοῦ του Σατύρου (De obitu Valentiniani n. LVI. De obitu Theodosii n. III. De excessu fratris sui Satyri in fine). Κατὰ τὴν ὥραν τῆς προσφορᾶς ὑπὲρ τοῦ τελευταίου τούτου ὁ ἱερὸς θύτης προσφέρων εἰς τὸν Θεὸν τὴν ἁγίαν Ἀναφορὰν τὴν ἐξῆς εὐχὴν πρὸς τὸν Θεὸν ἀπηύθυνε· «Πρὸς Σὲ ἀναφέρομαι, Παντοδύναμε Κύριε, καὶ Σοὶ συνιστῶ ταύτην τὴν ἀθῴαν ψυχὴν καὶ ὑπὲρ αὐτῆς τὴν ἐμὴν προσφορὰν προσφέρω Σοι, ᾧ γενοῦ ἵλεως καὶ εὐμενής, δέξαι τὴν προσφορὰν τοῦ ἀδελφοῦ καὶ τὴν θυσίαν τοῦ ἱερέως.» Ὁ ἱερὸς οὗτος Πατὴρ προστίθησιν ὅτι τινὲς μὲν ποιοῦσι τὰς ἱερὰς ταύτας τελετὰς τὴν τρίτην καὶ τὴν τριακοστὴν ἡμέραν τινὲς δὲ τὴν ἑβδόμην καὶ τὴν τεσσαρακοστήν.

Ὁ Ἱερὸς Αὐγουστῖνος (354—430) ἔγραψε βιβλίον ὁλόκληρον

περὶ τῶν τελουμένων λειτουργιῶν ὑπὲρ τῶν κεκοιμημένων ὑπὸ τὸν τίτλον «De cura pro mortuis» ἐν ᾧ ἐν εἴκοσι μέρεσιν ἀποδεικνύει τὴν ἀπὸ τῆς ἀρχῆς τοῦ Χριστιανισμοῦ συνήθειαν τῆς Ἐκκλησίας τοῦ νὰ εὔχηται καὶ προσφέρῃ θυσίας ἐπὶ τοῦ ἱεροῦ θυσιαστηρίου ὑπὲρ τῶν κεκοιμημένων, ἣν ἀποδίδει εἰς ἄμεσον Ἀποστολικὴν παράδοσιν.

Ὁ Λέων Ἀλάτιος συνέγραψε βίβλον περὶ τοῦ Καθαρτηρίου Πυρός, ἐν ᾗ συνέλεξε μέγαν ἀριθμὸν κανόνων τῶν Ἱερῶν Συνόδων τῶν κατὰ τόπους καὶ ἐπαρχίας ὑπὸ Ἑλλήνων συγκροτηθεισῶν, δι' ὧν ζητεῖ νὰ ἀποδείξῃ τὴν συμφωνίαν τῶν δύο Ἐκκλησιῶν ἐπὶ τοῦ ζητήματος τούτου, καὶ ἐν ᾗ φέρονται μαρτυρίαι περὶ τῆς ἐξ ἀποστολικῆς παραδόσεως τῶν Μνημοσύνων ἀρχῆς.

Ὁ Ὠριγένης (250 Μ.Χ.) λέγει περὶ Μνημοσύνων «ὅτι δίκαιόν ἐστι καὶ ὠφέλιμον τὸ ποιεῖν ἐν δημοσίαις προσευχαῖς Μνημόσυνα ὑπὲρ τῶν ἁγίων (Ὠριγ. βιβλίον θ'. εἰς Ρωμ. 12).

Ὁ Κυπριανὸς (250 μ. Χ.) βεβαιοῖ, ὅτι ἐν τοῖς χρόνοις αὐτοῦ οἱ Χριστιανοὶ ἐθεώρουν ἀναπόφευκτον καθῆκον τὸ προσφέρειν θυσίας καὶ δέεσθαι ὑπὲρ τῶν Μαρτύρων. (Ἐπιστολ. 37).

Ὁ Ἀρνόβιος (305 μ. Χ.) ἀναφέρει, ὅτι οἱ Χριστιανοὶ ἐν ταῖς ἱερουργίαις αὐτῶν ἐποίουν δεήσεις ὑπὲρ ἀναπαύσεως καὶ σωτηρίας τῶν τεθνεώτων. (Ἀρνόβιος κατὰ ἐθνικῶν Βιβλ. Δ'.).

Ὁ Γρηγόριος ὁ Ναζιανζηνὸς (370 μ. Χ.) καὶ ἅπαντες οἱ Πατέρες τῆς Ἐκκλησίας οἱ ἀρχαιότατοι ἀναφέρουσι τὰς ἀναιμάκτους θυσίας προσφερομένας κατ' ἀποστολικὴν παράδοσιν ὑπὲρ τῶν ἐν πίστει τελευτησάντων καὶ τὰς δεήσεις καὶ ἐν γένει τὰς ἀγαθοεργίας τῶν ἐπιζώντων ὑπὲρ τῶν κεκοιμημένων.

Ἔπειτα δὲ περὶ τοῦ ὀνόματος τῶν τελευτησάντων, κατὰ τὸν ἱερὸν Ἐπιφάνιον, «τί ἂν εἴη τούτου προὐργιαίτερον; τί τούτου καιριώτερον καὶ θαυμασιώτερον, πιστεύειν μὲν τοὺς παρόντας, ὅτι οἱ ἀπελθόντες ζῶσι καὶ ἐν ἀνυπαρξίᾳ οὔκ εἰσιν, ἀλλ' εἰσὶ καὶ ζῶσι παρὰ τῷ Δεσπότῃ, καὶ ὅπως ἂν τὸ σεμνότατον κήρυγμα διηγήσοιντο, ὡς ἐλπίς ἐστιν ὑπὲρ ἀδελφῶν εὐχομένοις, ὡς ἐν ἀποδημίᾳ τυγχανόντων· ὠφελεῖ δὲ καὶ ἡ ὑπὲρ αὐτῶν γενομένη εὐχή, εἰ καὶ τὰ ὅλα τῶν αἰτιαμάτων μὴ ἀποκόπτοι, ἀλλ' οὖν γε διὰ τὸ πολλάκις ἡμᾶς ἐν κόσμῳ ὄντας σφάλλεσθαι ἀκουσίως τε καὶ ἑκουσίως, ἵνα τὸ ἐντελέστερον σημανθῇ· καὶ γὰρ δικαίων ποιούμεθα μνήμην καὶ ὑπὲρ ἁμαρτωλῶν· ὑπὲρ μὲν ἁμαρτωλῶν ὑπὲρ ἐλέους Θεοῦ δεόμενοι,

ὑπὲρ δὲ Δικαίων, καὶ Πατέρων, καὶ Πατριαρχῶν, καὶ Προφητῶν, καὶ Ἀποστόλων, καὶ Εὐαγγελιστῶν, καὶ Μαρτύρων, καὶ Ὁμολογητῶν, Ἐπισκόπων τε καὶ Ἀναχωρητῶν, καὶ παντὸς τοῦ μοναχικοῦ τάγματος, ἵνα τὸν Κύριον Ἰησοῦν Χριστὸν ἀφορίσωμεν ἀπὸ τῆς τῶν ἀνθρώπων τάξεως διὰ τῆς πρὸς αὐτὸν τιμῆς, καὶ σέβας αὐτῷ ἀποδῶμεν ἐν ἐννοίᾳ ὄντες, ὅτι οὐκ ἔστιν ἐξισούμενος ὁ Κύριός τινι τῶν ἀνθρώπων, κἂν τε μυρία καὶ ἐπέκεινα ἐν δικαιοσύνῃ ὑπάρχῃ ἕκαστος ἀνθρώπων· πῶς γὰρ οἷόν τε εἴη τοῦτο; ὁ μὲν γάρ ἐστι Θεός, ὁ δὲ ἄνθρωπος, καὶ ὁ μὲν ἐν οὐρανῷ, ὁ δὲ ἐπὶ γῆς, διὰ τὰ ἐπὶ γῆς λείψανα· πάρεξ τῶν ἀναστάντων καὶ συνεισελθόντων ἐν τῷ νυμφῶνι, ὥς φησι τὸ Ἅγιον Εὐαγγέλιον· «Πολλὰ δὲ σώματα τῶν Ἁγίων ἀνέστησαν, καὶ συνεισῆλθον αὐτῷ εἰς τὴν Ἁγίαν Πόλιν....» Εἶτα δὲ περὶ τούτου αὖθις ἐπιλήψομαι τῆς ἀκολουθίας, ὅτι ἀναγκαίως ἡ Ἐκκλησία τοῦτο ποιεῖ (μέμνηται τῶν κεκοιμημένων ἐν ταῖς λειτουργίαις) παράδοσιν λαβοῦσα παρὰ τῶν Πατέρων· Τίς δὲ δυνήσεται θεσμὸν καταλύειν, ἢ νόμον Πατρός; ὡς τὰ παρὰ τῷ Σολομῶντι εἰρημένα· «ἄκουε, υἱέ, λόγους Πατρός, καὶ μὴ ἀπώσῃ θεσμοὺς Μητρός σου»· δεῖξαι, βουλόμενος, ὅτι ἐγγράφως τε καὶ ἀγράφως ἐδίδασκεν ὁ Πατήρ, τουτέστιν ὁ Θεός, ὁ μονογενὴς Υἱός, καὶ τὸ Ἅγιον Πνεῦμα· ἡ δὲ Μήτηρ ἡμῶν Ἐκκλησία ἐν αὐτῇ τοὺς κειμένους θεσμοὺς ἀλύτους ἐτήρει καὶ μὴ δυναμένους καταλυθῆναι. Τεταγμένων τοίνυν τῶν ἐν τῇ Ἐκκλησίᾳ θεσμῶν καὶ καλῶς ἐχόντων, καὶ τῶν πάντων θαυμασίων γινομένων ἐλήλαται πάλιν καὶ οὗτος ὁ Πλάνος (Ἐπιφάνιος κατὰ αἱρέσεων ἐν λόγῳ κατὰ Ἀρείου αἵρεσις οε′).

Ὁ δὲ Ἅγιος Ἰωάννης ὁ Χρυσόστομος λέγει· «Μὴ ἀμφίβαλλε, ὅτι καρπώσεταί τι χρηστόν. Οὐχ ἁπλῶς ὁ Διάκονος βοᾷ ὑπὲρ τῶν ἐν Χριστῷ κεκοιμημένων καὶ τῶν τὰς μνείας ὑπὲρ αὐτῶν ἐπιτελουμένων, οὐχ ὁ Διακονός ἐστιν ὁ τὴν φωνὴν ταύτην ἀφιείς, ἀλλὰ τὸ Πνεῦμα, οὐ τὸ Ἅγιον τὸ δὲ χάρισμα λέγω· τί λέγεις; ἐν χερσὶν ἡ θυσία, καὶ πάντα πρόκειται ἠὐτρεπισμένα, πάρεισιν Ἄγγελοι, Ἀρχάγγελοι, πάρεστιν ὁ Υἱὸς τοῦ Θεοῦ· μετὰ τοσαύτης φρίκης ἑστήκασιν ἅπαντες· παρεστήκασιν ἐκεῖνοι βοῶντες πάντων σιγώντων, καὶ ἡγῇ ἁπλῶς γίνεσθαι τὰ γινόμενα; Οὐκοῦν καὶ τἆλλα ἁπλῶς, καὶ τὰ ὑπὲρ τῆς Ἐκκλησίας, καὶ τὰ ὑπὲρ τῶν ἱερέων προσφερόμενα καὶ τὰ ὑπὲρ τοῦ πληρώματος; μὴ γένοιτο! ἀλλὰ πάντα μετὰ πίστεως γίνεται· τί οἴει τὸ ὑπὲρ Μαρτύρων προσφέρεσθαι, τὸ κληθῆναι ἐν ἐκείνῃ τῇ

ὥρᾳ ; κἂν Μάρτυρες ὦσι, κἂν ὑπὲρ Μαρτύρων, μεγάλη τιμὴ τὸ ὀνομασθῆναι τοῦ Δεσπότου παρόντος, τοῦ θανάτου ἐπιτελουμένου ἐκείνου, τῆς φρικτῆς θυσίας, τῶν ἀφάτων μυστηρίων· καθάπερ γὰρ καθημένου τοῦ Βασιλέως, ὅσα ἄν τις βούληται ἀνύει, ἐγερθέντος δὲ ὅσα ἂν λέγῃ, εἰκῇ ἐρεῖ, οὕτω καὶ τότε, ἕως ἂν πρόκειται τὰ τῶν μυστηρίων πᾶσι τιμὴ μεγίστη τὸ μνήμης ἀξιοῦσθαι· ὅρα γάρ· καταγγέλλεται τότε τὸ μυστήριον τὸ φρικτόν, ὅτι ὑπὲρ τῆς Οἰκουμένης ἔδωκεν ἑαυτὸν ὁ Θεός· μετὰ τοῦ θαύματος ἐκείνου εὐκαίρως ὑπομιμνήσκει αὐτὸν τῶν ἡμαρτηκότων· καθάπερ γάρ, ὅταν ἐπινίκια τῶν βασιλέων ἄγηται, τότε εὐφημοῦνται καὶ ὅσοι τῆς νίκης ἐκοινώνησαν, ἀφίενται δὲ καὶ ὅσοι ἐν δεσμοῖς εἰσι διὰ τὸν καιρόν, παρελθόντος δὲ τοῦ καιροῦ ὁ μὴ τυχὼν οὐκ ἔτι τινὸς ἀπολαύει, οὕτω δὴ καὶ ἐνταῦθα· τῶν ἐπινικίων οὗτος ὁ καιρός· «ὁσάκις γὰρ ἄν, φησίν, ἐσθίητε τὸν ἄρτον τοῦτον, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε»· μὴ δὴ ἁπλῶς προσίωμεν, μηδὲ ὡς ἔτυχε ταῦτα γίνεσθαι νομίζωμεν· ἄλλως δὲ Μαρτύρων μεμνήμεθα, καὶ τοῦτο εἰς Πίστιν, ὅτι οὐ τέθνηκεν ὁ Κύριος· καὶ τοῦτο τοῦ τεθνατῶσθαι τὸν θάνατον σημεῖον, τοῦ νεκρὸν αὐτὸν γεγενῆσθαι· ταῦτα εἰδότες ἐπινοῶμεν ὅσας δυνάμεθα παραμυθίας τοῖς ἀπελθοῦσιν· ἀντὶ δακρύων, ἀντὶ θρήνων, ἀντὶ μνημείων τὰς ἐλεημοσύνας, τὰς εὐχάς, τὰς προσφοράς, ἵνα κἀκεῖνοι καὶ ἡμεῖς τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν». (Χρυσοστόμ. Τόμ. Θ'. Σελ. 176).

Καὶ αὖθις ὁ Ἰωάννης ὁ Χρυσόστομος. «Οὐκ εἰκῇ ταῦτα ἐνομοθετήθη ὑπὸ τῶν Ἀποστόλων, τὸ ἐπὶ τῶν φρικτῶν μυστηρίων μνήμην γίνεσθαι τῶν ἀπελθόντων. Ἴσασιν αὐτοῖς πολὺ κέρδος γινόμενον, πολλὴν τὴν ὠφέλειαν. Ὅταν γὰρ ἑστήκῃ λαὸς ὁλόκληρος χεῖρας ἀνατείνοντες, πλήρωμα ἱερατικόν, καὶ πρόκειται ἡ φρικτὴ θυσία, πῶς οὐ δυσωπήσωμεν ὑπὲρ τούτων τὸν Θεὸν παρακαλοῦντες ; ἀλλὰ τοῦτο μὲν περὶ τῶν ἐν Πίστει παρελθόντων, οἱ δὲ κατηχούμενοι οὐδὲ ταύτης καταξιοῦνται τῆς παραμυθίας, ἀλλ' ἀπεστέρηνται πάσης τῆς τοιαύτης βοηθείας, πλὴν μιᾶς τινος· ποίας δὴ ταύτης ; ἔνεστι πένησιν ὑπὲρ αὐτῶν (τῶν κατηχουμένων) διδόναι· ποιεῖ τινα αὐτοῖς παραψυχὴν τὸ πρᾶγμα· καὶ γὰρ παρ' ἀλλήλων ἡμᾶς ὠφελεῖσθαι βούλεται ὁ Θεός· διατί γὰρ ὑπὲρ εἰρήνης καὶ εὐσταθίας τοῦ κόσμου ἐκέλευσεν εὔχεσθαι ; διατί περὶ πάντων ἀνθρώπων ; καίτοι γε ἐνταῦθα ἐν πᾶσίν εἰσι καὶ λῃσταὶ καὶ τυμβωρύχοι καὶ κλέπται, καὶ μυρίων κακῶν γέμοντες, ἀλλ' ὅμως ὑπὲρ πάντων εὐχόμεθα· ἴσως γὰρ ἔσται

τις αὐτῶν ἐπιστροφή· ὥσπερ οὖν ὑπὲρ τῶν ζώντων εὐχόμεθα τῶν οὐδὲν διαλλαττόντων τῶν νεκρῶν, οὕτως ἔνεστι καὶ ὑπὲρ ἐκείνων εὔχεσθαι. Ὁ Ἰὼβ ὑπὲρ τῶν παίδων αὐτοῦ ἐποίει θυσίας, καὶ ἀπήλλαττεν αὐτοὺς τῶν ἁμαρτημάτων, μήποτε ἐνενόησαν, φησί, τί ἐν τῇ καρδίᾳ αὐτῶν». (Χρυσόστομος Τόμ. ΙΑ΄. Σελ. 217). Καὶ αὖθις· «Κλαίωμεν οὖν τούτους (τοὺς ἐν ἁμαρτίαις ἀποθανόντας), βοηθῶμεν αὐτοῖς κατὰ δύναμιν, ἐπινοήσωμεν αὐτοῖς τινα βοήθειαν, μικρὰν μέν, βοηθεῖν δὲ ὅμως δυναμένην. Πῶς καὶ τίνι τρόπῳ; Αὐτοί τε εὐχόμενοι καὶ ἑτέρους παρακαλοῦντες εὐχὰς ὑπὲρ αὐτῶν ποιεῖσθαι, πένησιν ὑπὲρ αὐτῶν δίδοντες συνεχῶς. Ἔχει τινὰ τὸ πρᾶγμα ὠφέλειαν» (αὐτόθι). Καὶ αὖθις· «Ἔστι γὰρ ἔστιν, ἐὰν θέλωμεν, κούφην αὐτῷ γενέσθαι τὴν κόλασιν. Ἂν οὖν εὐχὰς ὑπὲρ αὐτοῦ ποιῶμεν συνεχεῖς, ἐὰν ἐλεημοσύνην διδῶμεν, κἂν ἐκεῖνος ἀνάξιος, ἡμᾶς ὁ Θεὸς δυσωπηθήσεται....Περίστησον χήρας....εἰπὲ τοὔνομα. Πάσας κέλευσον ὑπὲρ αὐτοῦ ποιεῖσθαι τὰς δεήσεις καὶ τὰς ἱκετηρίας....Οὐκ εἰκῇ προσφοραὶ γίνονται ὑπὲρ τῶν ἀπελθόντων, οὐκ εἰκῇ ἱκετηρίαι, οὐκ εἰκῇ ἐλεημοσύναι». (Τόμ. ΙΑ΄. Σελ. 174, 175, 217).

Καὶ ἐν ὁμιλίᾳ 41η. «Εἰ δὲ καὶ ἁμαρτωλὸς ἀπῆλθε, καὶ διὰ τοῦτο δεῖ χαίρειν, ὅτι ἐνεκόπη τὰ ἁμαρτήματα, καὶ οὐ προσέθηκε τῇ κακίᾳ, καὶ βοηθεῖν, ὡς οἷόν τε ἦ, οὐ δάκρυσιν, ἀλλ' εὐχαῖς καὶ ἱκετηρίαις καὶ ἐλεημοσύναις καὶ προσφοραῖς. Οὐ γὰρ ἁπλῶς ταῦτα ἐπινενόηται, οὐδὲ εἰκῇ μνήμην ποιούμεθα τῶν ἀπελθόντων ἐπὶ τῶν θείων μυστηρίων, καὶ ὑπὲρ αὐτῶν πρόσιμεν, δεόμενοι τοῦ ἀμνοῦ τοῦ κειμένου, τοῦ λαβόντος τὴν ἁμαρτίαν τοῦ κόσμου, ἀλλ' ἵνα τις αὐτοῖς ἐντεῦθεν γένηται παραμυθία. Οὐδὲ μάτην ὁ παρεστὼς τῷ θυσιαστηρίῳ τῶν φρικτῶν μυστηρίων τελουμένων βοᾷ ὑπὲρ πάντων τῶν ἐν Χριστῷ κεκοιμημένων καὶ τῶν τὰς μνείας ὑπὲρ αὐτῶν ἐπιτελούντων. Εἰ γὰρ μὴ ὑπὲρ αὐτῶν αἱ μνεῖαι ἐγένοντο, οὐδ' ἂν ταῦτα ἐλέχθη. Οὐ γάρ ἐστι σκηνὴ τὰ ἡμέτερα, μὴ γένοιτο! πνεύματος γὰρ διατάξει ταῦτα γίνεται».

«Βοηθῶμεν τοίνυν αὐτοῖς, καὶ μνείαν ὑπὲρ αὐτῶν ἐπιτελῶμεν. Εἰ γὰρ τοὺς παῖδας τοῦ Ἰὼβ ἐκάθαιρεν ἡ τοῦ Πατρὸς θυσία, τί ἀμφιβάλλεις, εἰ καὶ ἡμῶν ὑπὲρ τῶν ἀπελθόντων προσφερόντων γίνεταί τις αὐτοῖς παραμυθία; Εἴωθε γὰρ ὁ Θεὸς καὶ ἑτέροις ὑπὲρ ἑτέρων χαρίζεσθαι· καὶ τοῦτο ἐδείκνυ ὁ Παῦλος λέγων· «Ἵνα ἐκ πολλῶν προσώπων τὸ εἰς ὑμᾶς χάρισμα διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ἡμῶν». Μὴ δὴ ἀπο-

κάμωμεν τοῖς ἀπελθοῦσι βοηθοῦντες, καὶ προσφέροντες ὑπὲρ αὐτῶν καὶ ἀξιοῦντες εὐχὰς ὑπὲρ αὐτῶν τελεῖσθαι. Καὶ γὰρ τὸ κοινὸν τῆς οἰκουμένης κεῖται καθάρσιον. Διὰ τοῦτο θαρροῦντες ὑπὲρ τῆς Οἰκουμένης δεόμεθα τότε καὶ μετὰ Μαρτύρων αὐτοὺς καλοῦμεν, μετὰ Ὁμολογητῶν, μετὰ Ἱερέων. Καὶ γὰρ ἓν σῶμά ἐσμεν πάντες, κἂν λαμπρότερα μέλη μελῶν· καὶ δυνατὸν πάντοθεν συγγνώμην αὐτοῖς συναγαγεῖν, ἀπὸ τῶν εὐχῶν, ἀπὸ τῶν ὑπὲρ αὐτῶν δώρων, ἀπὸ τῶν μετ' αὐτῶν καλουμένων. Τί τοίνυν ἀλγεῖς, τί θρηνεῖς, ὁπότε τοιαύτην δυνατὸν συγγνώμην συναγαγεῖν τῷ ἀπελθόντι ; (Χρησοστόμ. Τόμ. Β'. ὁμιλ. 41η Σελ. 525—526).

Συμεὼν ὁ Θεσσαλονίκης ἀπαντῶν εἰς τὴν ἐρώτησιν «τὰς ἐξερχομένας ψυχὰς ἕνας Ἄγγελος λαμβάνει ἢ πολλοί, καὶ ἂν ἐλεύθεροι ἀπέρχονται, καὶ ποῦ πορεύονται»; λέγει· «Λαμβάνεται δὲ ὑπ' Ἀγγέλων ἄὔλων ἡ ψυχή, ἄὔλος οὖσα κατὰ λόγον ὀρθὸν καὶ πρεπόντως, μᾶλλον δὲ κατὰ φύσιν· συγγενῶς δὲ πρὸς τὰ ἄὔλα καὶ οἰκείως οἱ Ἄγγελοι ἔχουσιν.» Αἱ ψυχαὶ δὲ πηγαίνουσιν, ὡς παρὰ τῶν ἁγίων ἐμάθομεν, εἰς τόπους ἀξίους τῆς ζωῆς καὶ πολιτείας αὐτῶν· καὶ αἱ μὲν πορεύονται εἰς τὸν οὐρανόν. ὅσαι δηλαδὴ εἶχον καὶ ζῶσαι τὸ πολίτευμα ἐν τοῖς οὐρανοῖς, ἤγουν ἔζων ἐναρέτως, καὶ θεαρέστως, αἱ ὁποῖαι καὶ μετὰ τοῦ σώματος οὖσαι ἐφέρθησαν εἰς τοὺς Οὐρανούς, καθὼς ὁ Παῦλος ἁρπαχθεὶς ἐκεῖσε, εἰς τοὺς Οὐρανούς, διδάσκει με τὸ νὰ ἐπεθύμει νὰ ἀναλυθῇ ἀπὸ τὴν ζωήν, διὰ νὰ εἶναι μαζὺ μὲ τὸν Χριστόν, καὶ διὰ νὰ πληρωθῇ τὸ ρητὸν τὸ λέγον «ὅπου εἰμὶ ἐγώ, καὶ αὐτοὶ ὦσι μετ' ἐμοῦ» τὸ ὁποῖον εἶπεν ὁ Κύριος· ἄλλαι δὲ ψυχαὶ εἰς τὸν Παράδεισον εἶναι κατὰ ρητὸν «σήμερον μετ' ἐμοῦ ἔσει ἐν τῷ παραδείσῳ» ὥστε πρέπει νὰ πιστεύσωμεν, ὅτι ἐκεῖ εἶναι καὶ ὅλαι αἱ ψυχαὶ ἐκείνων, οἱ ὁποῖοι ἐν μετανοίᾳ ἀπέθανον καθὼς καὶ ἡ τοῦ εὐγνώμονος ἐκείνου λῃστοῦ ψυχή. Καὶ δικαίως τοῦτο ὅτι, ὅσοι ἐμιμήθησαν διόλου τὸν Χριστὸν εἰς τὴν ζωήν των, πρέπει νὰ συνευρίσκωνται μὲ αὐτὸν τὸν Χριστόν, ὅστις εἰς τοὺς Οὐρανοὺς ἀνελήφθη, ὅσοι δὲ μετενόησαν καθὼς ὁ λῃστὴς νὰ εἶναι εἰς τὸν παράδεισον, ἐπειδὴ ὁ Χριστὸς καὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἤνοιξεν».

«Ἀναλόγως δέ, ἤγουν ἁρμοδίως, εἰς τὴν ζωὴν κάθε ψυχὴ δέχεται καὶ τὴν παρηγορίαν ἀπὸ τὸν Θεόν, ὅλαι δὲ εἶναι ἀτελεῖς κατὰ τὴν ἀπόλαυσιν, ἕως οὗ ἔλθῃ ὁ Κύριος, καθὼς διδασκόμεθα, «ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι, καθὼς λέγει ὁ Παῦλος, «καὶ οὗτοι πάντες τελειωθέντες διὰ τῆς πίστεως οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν». Αἱ

δὲ τῶν ἁμαρτωλῶν καὶ τῶν ἀπίστων ψυχαὶ ὁμοίως πρέπει νὰ πιστεύωμεν ὅτι εἰς τὸν ᾅδην εἶναι εἰς τόπους σκοτεινοὺς καὶ θλιβερούς, καθὼς καὶ αἱ τῶν ἁγίων ἐν τῷ Οὐρανῷ, καὶ κατ' ἀναλογίαν τῶν ἁμαρτιῶν των, καὶ τῆς ἀπιστίας των ὑπὸ τῶν δαιμόνων ἐξουσιάζονται καὶ τυραννούμενοι καταθλίβονται, δὲν παρεδόθησαν ὅμως ἀκόμη εἰς τὴν τελείαν κόλασιν, ἐπειδὴ ἀκόμη δὲν ἠνώθησαν μὲ τὰ σώματά των, μὲ τὰ ὁποῖα καὶ ἐξήμαρτον, οὐδὲ ὁ Κύριος ἀκόμη ἦλθεν ἐξ οὐρανοῦ, ὁ ὁποῖος θέλει κρίνει ὅλους, καὶ θέλει ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· ἀλλὰ μήτε κόλασις εἶναι προτέρα, εἰς τὴν ὁποίαν αἱ ἁμαρτωλαὶ ψυχαὶ ἐμβαλλόμεναι καὶ τιμωρούμεναι κατὰ τὸ μέτρον τῆς κακίας των θέλουν ἐλευθερωθῆ ποτε ἀπὸ τὴν τιμωρίαν, καθὼς τινες δοξάζουσιν. Εἰδὲ καὶ ὁ θεῖος Γρηγόριος ὁ Διάλογος λέγει, ὅτι αἱ ψυχαὶ εἰς τὴν φλόγα τιμωροῦνται, νοητῶς τοῦτο λέγει, καὶ ὅτι εἶναι ὡς δέσμιοι αἱ ψυχαὶ αἱ ἁμαρτωλαὶ εἰς κάποιον τόπον, ὡς καταδεδικασμένοι καὶ θλιβόμενοι, καὶ ὅτι μὲ τὸ πῦρ τῆς συνειδήσεως φλέγονται, καὶ ὅτι χάριν Θεοῦ δὲν ἔχουσι, καὶ ὅτι ὑπὸ δαιμόνων καταθλίβονται, καὶ ὑπὸ δαιμόνων ὀδυνῶνται καὶ ταλαιπωροῦνται τιμωρούμεναι τῷ συνειδότει, καθὼς καὶ ὁ Χρυσορρήμων λέγει ἐν τῇ Ἑρμηνείᾳ τῶν πράξεων· «καὶ τὸ μὴ παρακαλεῖσθαι καὶ ἀπεκδέχεσθαι τὴν τελευταίαν ἐκείνην κόλασιν»· ὅλα ταῦτα ὡς νοητῶς λεγόμενα πρέπει νὰ τὰ ἐκλάβωμεν· ἐὰν λοιπὸν καὶ μερικοὶ ἡμάρτησαν μετρίως, φθάνει μόνον νὰ ἐξέλθουν μετάνοιαν ἀπὸ τὴν ζωήν, καὶ διὰ μέσου τῆς Ἱερωτάτης θυσίας, καὶ τῶν εὐεργεσιῶν καὶ ἐλεῶν καὶ λοιπῶν ἄλλων εἰμποροῦν νὰ ἐπιτύχουν ἐλευθερίαν καὶ προτοῦ νὰ ἔλθῃ ὁ κριτής. Τοῦτο καὶ ἡ Ἐκκλησία δεχομένη κάμνει τὰς προσευχὰς καὶ θυσίας διὰ τοὺς κεκοιμημένους, καὶ πολλοὶ τοῦτο μαρτυροῦσι καὶ μάλιστα οἱ λυόμενοι καὶ μετὰ θάνατον ἀπὸ τὸν δεσμὸν τῆς τιμωρίας τοῦ ἀφορισμοῦ, ὡσὰν ὅπου βλέπομεν διὰ τῶν δεήσεων λύονται τὰ σώματά των.

«Ὅθεν διὰ τοῦτο τὴν μὲν φλόγα τοῦ πλουσίου ἐκείνου τοῦ Εὐαγγελίου ἂς τὴν ἐννοήσωμεν διὰ τὴν τιμωρίαν τῆς συνειδήσεως καὶ τὴν στέρησιν τῆς χάριτος τοῦ Θεοῦ, τὸ δὲ ὅτι ἔβλεπεν ἀπὸ μακρὰν τὸν Ἀβραὰμ τὸν μακρυσμόν του ἀπὸ τὸν Θεόν, σημαίνει καὶ τὴν τιμωρίαν καὶ θλῖψιν, ὅπου πάσχει ἀπὸ τοὺς δαίμονας, δὲν παρεδόθη ὅμως ἀκόμη εἰς τὴν τελείαν κόλασιν. Ἐπειδὴ εἶπεν ὁ Κύριος ὅτι εἶναι ἐν τῇ γεέννῃ ὁ πλούσιος, πρέπει καὶ νὰ πιστεύσωμεν ὅτι εἶναι καὶ εἰς

τὴν κόλασιν, καὶ ὅτι εἶναι εἰς τὰς ψυχὰς τῶν ἁμαρτωλῶν κόλασις αἰώνιος καὶ ἀρραβὼν τῆς μελλούσης κολάσεως, πλὴν ἀπὸ ὅσον ἐμποροῦμεν νὰ ἐννοήσωμεν ἀπὸ τὰς γραφὰς μὲ τὸ νὰ μὴ εἶναι ἀκόμη ὁ διάβολος μὲ τοὺς δαίμονας ὑποκάτω ἀπὸ τὰ δεσμά, καὶ εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον εἰς αὐτούς, ἀλλ' ἀκόμη ἐνεργοῦσι τὴν κακίαν των εἰς τὸν κόσμον, καὶ μὲ τὸ νὰ μὴν ἔγεινεν ἀκόμη τελεία ἀπόφασις, τὸ «πορεύεσθαι ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον».

«Ἀπὸ αὐτὰ λοιπὸν πρέπει νὰ συμπεράνωμεν ὅτι αἱ ψυχαὶ τῶν ἁμαρτωλῶν δὲν παραδίδονται τώρα εἰς τὴν τελείαν κόλασιν, καὶ θέλει εἶναι ὄχι ὅμως εἰς τὴν τελείαν, καὶ μήτε δι' αὐτὴν τὴν κατὰ μέρος κόλασιν θέλει ἐλευθερωθῇ ἀπὸ τὴν τελείαν, καθὼς οἱ Λατῖνοι διὰ τὸ πουργατόριον φρονοῦσι, καὶ δῆλον τοῦτο ἀπὸ τὸ ἀκόλουθον. Λέγων ὁ Ἀβραὰμ ὅτι εἶναι χάσμα μέγα ἀναμέσον τῶν ἁμαρτωλῶν καὶ τῶν δικαίων, τὸ ἀδύνατον παρασταίνει τῆς ἑνώσεως, καὶ ὅτι δὲν δύναται νὰ ὑποστρέψῃ πλέον εἰς τοὺς ζῶντας, καὶ σωθῇ διὰ τῆς μετανοίας· ἐπειδὴ ἡ ἐν τῷ ᾅδῃ μετάνοια δὲν σῴζει, ἀλλά, καθὼς δοξάζομεν ὅτι ἀκόμη δὲν εὑρίσκουσι τελείαν δοκιμὴν κολάσεως, ἕως οὗ φθάσῃ εἰς καθένα τὸ τέλος καὶ ἔλθῃ πάλιν ὁ Κύριος· θέλει δὲ εἶναι ὑπὸ δεσμὸν καὶ ὀδύνην τὸ ἄϋλον πνεῦμα εἰς τὴν γέενναν κατὰ λόγον πρέποντα, καὶ τὸ μανθάνομεν ἀπὸ τὰς ἁγίας γραφάς, πλὴν καὶ ἐξ ὅσων συμβαίνουν ἐδῶ εἰς ἡμᾶς, δύναται ἕκαστος νὰ γνωρίσῃ καὶ στοχασθῇ διὰ τὰ μέλλοντα».

§ 6'. Μαρτυρίαι ἐκ τῶν θείων Λειτουργιῶν

Ἐν τῇ Ἁγία Λειτουγίᾳ τοῦ Ἀποστόλου Μάρκου φέρεται ἡ ἑξῆς ὑπὲρ τῶν κεκοιμημένων εὐχή.

«Καὶ τούτων (ὑπὲρ ὧν προσεκόμισε καὶ ἐδεήθη) καὶ πάντων τὰς »ψυχὰς ἀνάπαυσον, Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ἐν ταῖς τῶν ἁγίων Σου σκηναῖς, ἐν τῇ βασιλείᾳ Σου, χαριζόμενος αὐτοῖς καὶ τὰς ἐπαγγελίας Σου, ἀνεκλάλητα ἀγαθά, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ ἐπὶ καρδί»αν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασας, ὁ Θεός, τοῖς ἀγαπῶσι τὸ »ὄνομά Σου τὸ ἅγιον. Αὐτὸς μὲν οὖν τὰς ψυχὰς ἀνάπαυσον, Κύριε, »καὶ βασιλείας Οὐρανῶν ἀξίωσον,» καὶ ἐν ἑτέρῳ, «καὶ ὧν ἐν τῇ σήμερον τὴν ὑπόμνησιν ποιούμεθα.»

Ἐν δὲ τῇ Ἁγίᾳ λειτουργίᾳ τοῦ Ἁγίου Ἰακώβου τοῦ Ἀδελφο-

θέου, ἐν τῷ δευτέρῳ διπτύχῳ μετὰ τὴν ἀνάμνησιν τῶν Ἀποστόλων, Προφητῶν, καὶ λοιπῶν Ἁγίων, φέρεται. Μνήσθητι Κύριε ὁ Θεὸς »τῶν πνευμάτων καὶ πάσης σαρκὸς ὧν ἐμνήσθημεν καὶ ὧν οὐκ ἐμνήσ»θημεν Ὀρθοδόξων, ἐκεῖ αὐτοὺς ἀνάπαυσον· ἐν χώρᾳ ζώντων ἐν τῇ »βασιλείᾳ Σου, ἐν τῇ τρυφῇ τοῦ Παραδείσου, ἐν τοῖς κόλποις Ἀ»βραάμ, Ἰσαὰκ καὶ Ἰακώβ, τῶν Πατέρων ἡμῶν, ἔνθα ἀπέδρα ὀδύνη »καὶ στεναγμός, ἔνθα ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου Σου καὶ κα»ταλάμπει διὰ παντός . . . . Δὸς γενέσθαι τὴν προσφορὰν ἡμῶν εὐ»πρόσδεκτον, ἡγιασμένην ἐν πνεύματι ἁγίῳ, εἰς ἐξιλασμὸν τῶν ἡμε»τέρων πλημμελημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων, καὶ εἰς ἀνά»παυσιν τῶν προκεκοιμημένων ψυχῶν».

Ἐπίσης καὶ ἐν τῇ θείᾳ λειτουργίᾳ τοῦ Ἁγίου Κλήμεντος [1] Πάπα Ῥώμης ἀναγινώσκομεν. «Ἔτι δεόμεθά Σου, Κύριε, καὶ ὑπὲρ «τῆς ἁγίας Σου Ἐκκλησίας τῆς ἀπὸ περάτων ἕως περάτων . . . ἔτι »προσφέρομέν Σοι καὶ ὑπὲρ πάντων τῶν ἀπ' αἰῶνός Σοι εὐαρεστη»σάντων Ἁγίων, Πατριαρχῶν, Προφητῶν, Δικαίων, Ἀποστόλων, »Μαρτύρων, Ὁμολογητῶν Ἐπισκόπων, Πρεσβυτέρων, Διακόνων, »Ὑποδιακόνων, Ἀναγνωστῶν, Ψαλτῶν, Παρθένων, λαϊκῶν, καὶ »πάντων, ὧν αὐτὸς ἐπίστασαι τὰ ὀνόματα» (ὁ δὲ Διάκονος παρακελεύεται τὸν λαόν. ὅπως συνδεηθῇ «ὑπὲρ τῶν ἐν πίστει ἀναπαυσαμένων»).

Ἐπίσης καὶ ἐν ταῖς θείαις λειτουργίαις τοῦ Ἁγίου Βασιλείου καὶ τοῦ Ἁγίου Ἰωάννου μνεία γίνεται τῶν κεκοιμημένων.

«Τοῦ Ἁγίου Ἰωάννου Προφήτου Προδρόμου καὶ Βαπτιστοῦ, τῶν »ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, καὶ πάντων Σου τῶν »Ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ Θεός, καὶ μνήσθητι »πάντων τῶν κεκοιμημένων ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου, καὶ »ἀνάπαυσον αὐτοὺς ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου Σου».

(Ἐνταῦθα ὁ Ἱερεὺς μνημονεύει ζώντων καί τεθνεώτων, ὧν θέλει, καὶ ὑπὲρ ὧν παράκλησιν ἔλαβεν· ὑπὲρ δὲ τῶν τεθνεώτων λέγει).

«Ὑπὲρ ἀναπαύσεως καὶ ἀφέσεως τῆς ψυχῆς τοῦ δούλου Σου »(δεῖνος) ἐν τόπῳ φωτεινῷ, ἔνθα ἀπέδρα λύπη, καὶ στεναγμός, ἀνά»παυσον αὐτὸν ὁ Θεὸς ἡμῶν».

---

[1] Μαθητοῦ τοῦ Ἀπσστόλου Πέτρου.

§ γ΄. Μαρτυρίαι ἐκ τῶν Διπτύχων τῆς Ἐκκλησίας.

Ὅτι αἱ ὑπὲρ τῶν κεκοιμημένων εὐχαί εἰσιν Ἀποστολικὴ παράδοσις μαρτυρεῖ ἡ παναρχαία ἐν τῇ Καθολικῇ καὶ Ἀποστολικῇ Ἐκκλησίᾳ τῶν Διπτύχων χρῆσις, ἃ διεφύλαξαν καὶ διαφυλάττουσι μέχρι σήμερον ὅλαι αἱ ἐκ τῆς ἡμετέρας ἀποσχισθεῖσαι Ἐκκλησίαι ἥτε Δυτική, ἡ Κοπτική, ἡ Ἀβυσσινιακή, ἡ Ἀρμενικὴ καὶ ἄλλαι, ἐν αἷς μέχρι σήμερον τὰ δίπτυχα ἔχουσι τὴν αὐτὴν θέσιν καὶ τὸν αὐτὸν σκοπόν, ὃν εἶχον κατὰ τὰς πρώτας ἡμέρας τῆς συστάσεώς των· φέρουσι κατάλογον τῶν Πατριαρχῶν καὶ τῶν Ἀρχιερέων τῶν ἀπ' ἀρχῆς μέχρι τῶν ἐσχάτων, ὧν τὰ ὀνόματα μνημονεύουσιν ἐν ταῖς θείαις λειτουργίαις κατὰ τὰς διατεταγμένας ὥρας, αἳ ἐν τῇ λειτουργικῇ βίβλῳ ἀναφέρονται.

Τὰ δίπτυχά εἰσι δύο σανίδες συνηνωμέναι, ὡς ἐκεῖναι τὰς ὁποίας βλέπομεν νὰ κρατῇ ζωγραφούμενος Μωϋσῆς ὁ Θεόπτης, ἐπὶ τῶν ὁποίων ἦσαν γεγραμμένα τὰ ὀνόματα τῶν Ὀρθοδόξων· καὶ καθὼς ἔχομεν παρὰ τῆς ἁγίας Οἰκουμενικῆς Ε΄. Συνόδου, ἀνεγίνωσκεν αὐτὰ ὁ Διάκονος μετὰ τὸν ἁγιασμὸν τῶν τιμίων Δώρων, καθ' ἣν ὥραν ἐψάλλετο τό «Ἄξιον ἐστὶν ἢ τὸ «Ἐπὶ Σοὶ χαίρει Κεχαριτωμένη», ὡς τοῦτο γίνεται καὶ σήμερον ἔνδον τοῦ Ἱεροῦ ὑπὸ τοῦ Διακόνου ἢ τοῦ Ἱερέως ἔμπροσθεν τοῦ θυσιαστηρίου, ἢ ὡς τὸ πάλαι εἰς ἐπήκοον πάντων καὶ ἐπ' Ἄμβωνος, ὃς ἦν ἄνωθεν τῆς Ὡραίας Πύλης. «Τὰ Δίπτυχα τῷ Ἄμβωνι· τῷ Ἄμβωνι τὰ Δίπτυχα· τὰ Δίπτυχα ἄρτι φέρε» ἐμεγαλοφώνει εἰς τοὺς καιροὺς τοῦ Ἰουστίνου καὶ Ἑλένης τῶν Αὐγούστων πρὸς Ἰωάννην τὸν Κωνσταντινουπόλεως ὁ λαός. Ἦσαν δὲ τριῶν εἰδῶν τὰ Δίπτυχα. Δίπτυχα τῶν Ἁγίων, Δίπτυχα τῶν ζώντων, καὶ Δίπτυχα τῶν κεκοιμημένων. Τὰ Δίπτυχα τῶν Ἁγίων ἔχομεν ἀπὸ τῶν χρόνων τοῦ μεγάλου Διονυσίου. «Τῶν δὲ ἱερῶν Διπτύχων ἡ μετὰ τὴν εἰρήνην ἀνάρρησις ἀνακηρύττει τοὺς ὁσίως βεβιωκότας καὶ πρὸς ἐναρέτου ζωῆς τελείωσιν ἀμεταστάτως ἀφικομένους· ἡμᾶς μὲν ἐπὶ τὴν δι' ὁμοιότητος αὐτῶν μακαριστὴν ἕξιν καὶ θεοειδῆ λῆξιν προτρέπουσα καὶ χειραγωγοῦσα, τοὺς δὲ ὡς ζῶντας ἀνακηρύττουσα, καί, ὡς ἡ θεολογία φησίν, οὐ νεκρωθέντας, ἀλλ' εἰς θειοτάτην ζωὴν ἐκ θανάτου μεταφοιτήσαντας (Ἐκκλ. Ἱεραρχ. γ΄.).

Τὰ Δίπτυχα τῶν κεκοιμημένων εἰσὶ καὶ αὐτὰ παλαίτατα, καὶ

φαίνονται εἰς τὴν θείαν καὶ ἱερὰν λειτουργίαν τοῦ Εὐαγγελιστοῦ Μάρκου καὶ ταῖς λοιπαῖς. Εἰς τὰ Δίπτυχα τῶν ζώντων ἦσαν γεγραμμένοι οἱ Ἀρχιερεῖς καὶ οἱ Αὐτοκράτορες καὶ ὅλοι, ὅσοι ἦσαν ἐν ἀξιώμασι καὶ ἐξουσίαις, καὶ πρὸ πάντων ὅσοι ἐκαλλιέργησαν εἰς ἐκείνην τὴν Ἐκκλησίαν ὅλοι κατ' ὄνομα καὶ γενικῶς ἅπας ὁ λαός. «Καὶ πάντων καὶ πασῶν» ἐμεγαλοφώνει ὁ Διάκονος, ὅπερ μέχρι σήμερον ἐξακολουθεῖ γινόμενον, ἐνῷ ὁ Διάκονος μνημονεύει μεγαλοφώνως, ὅπως εἰδοποιήσῃ τὸν λαὸν καὶ μνημονεύσῃ καὶ οὗτος τοὺς ἑαυτοῦ· «καὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει καὶ πάντων καὶ πασῶν». Ἐκλήθησαν δὲ Δίπτυχα ἀπὸ τοῦ πτύσσω, τὸ ὁποῖον σημαίνει διπλόνω, ἐπειδὴ μὲ μεγάλην ἀκρίβειαν τὰ ἐφύλαττον εἰς τὸ θεῖον Ἄδυτον οἱ Ἱερουργοῦντες. Ἡ δὲ ἀκριβὴς τήρησις ἐντεῦθεν, ὅτι εἰς τὰ Δίπτυχα συνίστατο νὰ δοξάζωνται ἀπὸ τῆς Ἐκκλησίας οἱ Ἅγιοι ὡς Ἅγιοι, νὰ μακαρίζωνται οἱ Ὀρθόδοξοι ὡς Ὀρθόδοξοι καὶ νὰ κατάδικάζωνται οἱ αἱρεσιάρχαι καὶ ἀποστάται, ὡς καθηρημένοι καὶ ἀκοινώνητοι, καὶ μνημονεύωνται οἱ ἐν πίστει τελειωθέντες, ὧν ὁ Κύριος γινώσκει τὰ ὀνόματα». Τὰ Δίπτυχα ὁ Κασσιόδωρος Βιβλ. Ε'. τῶν Ἐπιστολῶν ΙΓ'. ὠνόμασε καὶ Πολύπτυχα ὡς ἐκ τῶν πολλῶν πτυχῶν, ἃς εἶχον, καὶ Γρηγόριος ὁ μέγας (Βιβλ. ζ'. Ἐπιστολὴ μ'.).

Τὰς ὑπὲρ τῶν κεκοιμημένων εὐχὰς καὶ δεήσεις καὶ συνεπῶς τὰ Μνημόσυνα ὑποστηρίζει ἡ ἀδιαφιλονίκητος Ἀποστολικὴ παράδοσις, ἐξ ἧς παρελάβομεν νὰ εὐχώμεθα ἐν τῇ προσκομιδῇ τῶν τιμίων Δώρων ὑπὲρ τῶν κεκοιμημένων καὶ νὰ θέτωμεν τὰς μερίδας αὐτῶν ἐνώπιον τοῦ Ἁγίου Ἄρτου, παρὰ ταῖς μερίσι τῶν ζώντων, ὧν ἤδη ἐμνημόνευσε τὰ ὀνόματα, μετὰ δὲ τὴν τελείωσιν τῶν προσκομισθέντων τιμίων Δώρων καὶ τὴν θείαν μετάληψιν καὶ τὴν ἐπὶ τοῦ φρικτοῦ θυσιαστηρίου ἀνάμνησιν τῶν ἤδη ἐν τῇ προθέσει μνημονευθέντων αἱ μερίδες αὐτῶν νὰ ἐμβάλλωνται τῷ ἁγίῳ Ποτηρίῳ, «ἐν ᾧ τὸ σῶμα καὶ αἷμα τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, τὸ ἐκχυθὲν ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας» ὅπως ἐμβαπτίσῃ αὐτὰς ἐν τῷ αἵματι τοῦ Κυρίου, ὅπερ ἔσται αὐταῖς ὡς ἱλαστήριος θυσία ἐνώπιον τοῦ φιλανθρώπου Θεοῦ τοῦ δεχομένου τὴν θυσίαν καὶ ἐπισπάσηται πρὸς αὐτὸν τὴν χάριν, τὸν ἁγιασμὸν καὶ τὴν ἀπολύτρωσιν, εἴπερ ὁ ῥύπος τῆς ἁμαρτίας τεθεὶς ὡς μεσότοιχον, τῆς ἐπηγγελμένης τοῖς πιστοῖς σωτηρίας τοὺς ἀποιχομένους ἀπείργει.

Ἡ τάξις αὕτη ὡς συνδεδεμένη στενῶς μετὰ τοῦ μυστηρίου τῆς

θείας εὐχαριστίας, τοῦ ἀμέσως ὑπὸ τῶν θείων Ἀποστόλων παραδοθέντος, καὶ ἐπὶ πολλοὺς αἰῶνας ὑφ' ἁπάσης τῆς Ἐκκλησίας ὁμοίως ἐπιτελουμένου, καὶ μέχρις ἡμῶν ἀσφαλῶς διὰ τῶν Ἁγίων τῆς Ἐκκλησίας Πατέρων ἀκηράτου θείᾳ προνοίᾳ παραδοθέντος, δέον ἐστὶ νὰ τηρῆται ὡς ἱερά, σωτήριος, ἀληθής, ἀναγκαία, καὶ ὀνήσιμος, καὶ τελῆται μετὰ πίστεως καὶ εὐλαβείας.

§ δ'. Μαρτυρίαι ἐκ τῶν ὁμολογιῶν τῆς Ἐκκλησίας.

1. Ὁμολογία Μητροφάνους Κριτοπούλου.

Ἐν τῇ Ὁμολογίᾳ Μητροφάνους τοῦ Κριτουπούλου Πατριάρχου Ἀλεξανδρείας ἐν Κεφλ. Κ'. «Περὶ τοῦ εὔχεσθαι ὑπὲρ τῶν κεκοιμημένων», θεωρουμένη ὡς ὁμολογία τῆς μιᾶς ἁγίας, Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας ἀναγινώσκομεν τὰ ἑξῆς·

«Ὅτι μὲν καὶ αὕτη ἡ παράδοσις τῶν ἀρχαίων ἐστί, πάντι δῆλον. Οὐδεὶς γάρ ἐστι τῶν τῆς Ἐκκλησίας ἁγίων Πατέρων, ὃς οὐ μέμνηται ταύτης. Ἀλλὰ πάντες ὁμοθυμαδὸν καὶ διηγηματικῶς καὶ προτρεπτικῶς φαίνονται μνήμην ταύτης ποιούμενοι, Ἀθανάσιος ὁ Πολύαθλος, Βασίλειος ὁ μέγας, Γρηγόριος ὁ Θεολόγος ἐν τῷ εἰς τὸν ἀδελφὸν Καισάριον λόγῳ, Ἰωάννης ὁ Χρυσόστομος ἐν τῇ ἑρμηνείᾳ τῆς πρὸς Κορινθίους πρώτης καὶ ἐν τῇ πρὸς Θεσσαλονικεῖς, Ἐπιφάνιος ἐν τῷ κατὰ αἱρέσεων, καὶ συνελόντι φάναι παρὰ πᾶσι τοῖς ἁγίοις Πατράσι, τοῖς τε ἱστοριογράφοις τῆς Ἐκκλησίας, λαμπρὰ καὶ περιφανὴς ἡ τοιαύτη παράδοσις εὕρηται.»

«Πάντας οὖν τούτους λέγειν ἡμαρτηκέναι τῆς ἀληθείας καὶ οὐκ ὀρθῶς περὶ τοῦ τοιούτου πεφρονηκέναι, οὔθ' ὅσιον οὔτε πρὸς ἐπιεικῶν καὶ εὐσεβείας ἀντιποιουμένων δόξειεν εἶναι.»

«Ἔοικε δὲ ἡ Ἐκκλησία καὶ ταύτην ἐκ θείου ῥήματος συλλέξαι. Εὗρηκε γὰρ ἐκεῖ τὸν Ἀπόστολον κελεύοντα τοὺς Κορινθίους παραδοῦναι τὸν πεπορνευκότα τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα ἐκείνου σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου, τὸν δὲ αὐτὸν Ἀπόστολον ἀλλαχοῦ φάσκοντα περὶ ἑαυτοῦ ἐπιθυμεῖν ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι.»

«Δύο τοίνυν παρατηρητέον ἐνθάδε, καὶ ἀκριβῶς μέντοι παρατηρητέον. Ἔν μὲν εἶναί τινας μετὰ τὴν ἐντεῦθεν ἀπαλλαγὴν εὐθέως

ἐπιτυγχάνοντας τῆς μετὰ Χριστοῦ διαγωγῆς· οὐ γὰρ ἂν ὁ Ἀπόστολος ἐπεθύμει ἀναλῦσαι εἰμὴ ἀκριβῶς οἶδεν εὐθὺς συνέσεσθαι τῷ Χριστῷ.

Δεύτερον δὲ εἶναί τινας μὴ μετὰ θάνατον εὐθέως τῆς ἐνεργείᾳ σωτηρίας τυγχάνειν, ἀλλὰ δυνάμει, καὶ ἐν ἐλπίδι ταύτην ἐκδέχεσθαι· ἐλπίδι, λέγω, βεβαίᾳ καὶ ἀναντιρρήτῳ, οἳ πειραθέντες πρότερον τῆς τοῦ Θεοῦ πατρικῆς ῥάβδου ἀξιοῦνται ἐν καιρῷ καὶ τῆς ἐνεργείᾳ σωτηρίας.»

«Τοῦτο τοίνυν κατανοήσασα ἡ τοῦ Χριστοῦ Ἐκκλησία, ἣ Αὐτὸς σύνεστιν ἀεί, ὡς ἐπηγγείλατο μέχρι τῆς συντελείας τοῦ αἰῶνος, ἡνιοχῶν καὶ διευθύνων ταύτην ἐν πᾶσι κατὰ τὸ αὐτῷ δοκοῦν, ἐπενόησε τούτοις φιλανθρωπίαν τινὰ προσφέρειν, τουτέστιν εὐχὰς καὶ ἱκεσίας ὑπὲρ ἐκείνων ἀναπέμπειν τῷ τῶν ὅλων Θεῷ ἵνα δυοῖν θάτερον, ἢ γὰρ τῶν κατεχόντων ἀνιαρῶν τούτους ἐν τάχει ἀπαλλάξῃ, ἢ γοῦν ἄνεσίν τινα καὶ παραμυθίαν τούτοις ἐν φυλακῇ θεόθεν παραπέμψῃ».

«Λέγει τοίνυν ἡ Ἐκκλησία, τὴν ἐκείνων ποινὴν μὴ ὑλικὴν εἶναι, εἴτουν ὀργανικήν, μὴ διὰ πυρός, μηδὲ δι' ἄλλης ὁποιασοῦν ὕλης, ἀλλὰ διὰ θλίψεως καὶ ἀνίας τῆς ἀπὸ συνειδήσεως συμβαίνουσαν τούτοις ἐκ τοῦ μιμνήσκεσθαι τῶν ὅσα ἐν τῷ κόσμῳ μὴ κατὰ λόγον, μηδὲ ὁσίως ἔπραξαν.»

«Εὐχόμεθα οὖν ὑπὲρ τῶν ἀποιχομένων ὀνομαστὶ μὲν ὑφ' ἑνὸς ἑκάστου τῇ πρώτῃ ἡμέρᾳ τῆς ἐκείνων κοιμήσεως τῇ τρίτῃ, τῇ ἑνάτῃ, τῇ εἰκοστῇ, τῇ τεσσαρακοστῇ, εἶτα μετὰ τρεῖς μῆνας καὶ αὖθις μετὰ ἕξ, καὶ τελευταῖον μετὰ ἐνιαυτόν· μετέπειτα παρὰ ταῦτα καὶ ὁσάκις οἱ συγγενεῖς καὶ προσήκοντες τῷ ἀποιχομένῳ ἐθέλουσι τοῦτο ποιεῖν οὐ κωλύομεν.»

«Κοινῇ δὲ καθ' ἕκαστον Σάββατον τοῦ ὅλου ἐνιαυτοῦ μνήμη γίνεται παρὰ πάσης τῆς Ἐκκλησίας ἐν πᾶσι τοῖς ναοῖς πάντων τῶν ἀπ' αἰῶνος ἐν πίστει καὶ εὐσεβείᾳ κοιμηθέντων.

Ἔτι ὁσάκις καὶ ἐν οἵᾳ δήποθ' ἡμέρᾳ τὸ Κυριακὸν δεῖπνον ἱερουργεῖται, μνημονεύονται κοινῶς οὗτοι. Πάντες γὰρ οἱ τὰς εὐχὰς τοῦ μυστηρίου τούτου συνθέντες ὅτε Μέγας Βασίλειος, καὶ Γρηγόριος ὁ Θεολόγους, Ἰωάννης τε ὁ Χρυσόστομος μνήμην ποιοῦνται τῶν πιστῶς κοιμηθέντων.

«Οὐκ ἔστι δὲ παρ' ἡμῖν χρόνος διωρισμένος τῆς ἐκείνων ἀπολυτρώσεως, οὐδὲ λέγομεν· δὸς τόσα χρήματα, ἵνα λυτρώσῃς τοὺς γονεῖς σου, ἢ τὰ τέκνα σου, ἢ τοὺς φίλους σου ἐκ τοῦ καθαρτηρίου πυ-

ρός. Οὐδὲ γάρ ἐστι πῦρ καθαρτήριον παρ' ἡμῖν, ἀλλὰ θλῖψίς τις ἀπὸ συνειδήσεως, καὶ αὕτη μέντοι μετὰ πάνυ χρηστῆς ἐλπίδος διήκουσα, ἕως ἂν ὁ Θεὸς θέλῃ.»

«Οὐδὲ ὁρίζομεν τούτῳ μὲν τόσα ἔτη ἐν τῇ θλίψει διαγαγεῖν, ἐκείνῳ δὲ τόσα. Ἂν δὲ οἱ προσήκοντες τόσα ἢ τόσα χρήματα, δηλαδὴ πλουτίνδην, οὐχ ἁμαρτίνδην, τὴν ποινὴν εἰσπράττοντες τῇ Ἐκκλησίᾳ προσφέρειεν, θᾶττον ἢ λόγος ῥυσθήσεται ὁ ἔνοχος τῶν κατεχόντων δεινῶν.»

«Οὐδὲν τοιοῦτον παρ' ἡμῖν εὕροιεν ἄν τις.»

«Εἰ δέ τις τῶν πρεσβυτέρων φωραθείη πρὸς ἀργύριον τοιοῦτό τι ποιῶν κολάζεται πικρότατα καὶ ἐλεεινότατα· καὶ τί γὰρ ἄλλο ἢ τῆς ἰδίας τάξεως κίνδυνος αὐτὸν ἐκπεσεῖν.

2. Ὁμολογία Πέτρου τοῦ Μογίλα.

Εἰς τὴν ξδ΄ ἐρώτησιν, περὶ τοῦ ἂν ἀποθνήσκωσιν ἄνθρωποι οἵτινες νὰ εἶναι μεταξὺ τῶν σωζομένων καὶ τῶν ἀπολλυμένων, φέρεται ἡ ἑξῆς ἀπάντησις :

Ἀπάντ. Τοιαύτης τάξεως ἄνθρωποι δὲν εὑρίσκονται· μὰ βέβαια πολλοὶ ἀπὸ τοὺς ἁμαρτωλοὺς ἐλευθερώνονται ἀπὸ τῶν δεσμῶν τοῦ ᾅδου, ὄχι μὲ μετάνοιαν καὶ ἐξομολόγησιν ἰδικήν τους, καθὼς ἡ γραφὴ (ψαλ. ς΄. 6) λέγει· «ἐν γὰρ τῷ ᾅδῃ τίς ἐξομολογηθήσεταί σοι ;» καὶ ἀλλαχοῦ (ψαλ. ριε΄ 17)· «οὐχ οἱ νεκροὶ αἰνέσουσί σε, Κύριε, οὐδὲ πάντες οἱ καταβαίνοντες εἰς ᾅδου»· ἀλλὰ μὲ τὰς εὐποιΐας τῶν ζώντων καὶ προσευχὰς τὰς ὑπὲρ αὐτῶν τῆς Ἐκκλησίας, καὶ μὲ τὴν ἀναίμακτον μάλιστα θυσίαν, ὅπου καθ'ἡμέραν προσφέρει ἡ Ἐκκλησία διὰ τοὺς ζῶντας καὶ τεθνηκότας κοινῶς ὅλους, καθὼς καὶ ὁ Χριστὸς ἀπέθανε δι' αὐτούς. Καὶ ὅτι δὲν ἐλευθερώνονται ἀφ' ἑαυτῶν αἱ τοιαῦται ψυχαί, λέγει ὁ Θεοφύλακτος εἰς τὸ κατὰ Λουκ. ς΄ κεφ. ἑρμηνεύων τὸν λόγον τοῦ Χριστοῦ, ὅπου εἶπεν, ὅτι ἔχει ἐξουσίαν ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας· «ὅρα ὅτι ἐπὶ τῆς γῆς ἀφίενται αἱ ἁμαρτίαι· ἕως οὗ γάρ ἐσμεν ἐπὶ τῆς γῆς, δυνάμεθα ἐξαλεῖψαι τὰς ἁμαρτίας ἡμῶν· μεθ' ὃ μέν τοι τῆς γῆς ἐπαναστῶμεν, οὐκέτι ἡμεῖς αὐτοὶ δυνάμεθα δι' ἐξομολογήσεως ἐξαλεῖψαι τὰς ἁμαρτίας ἡμῶν· ἀποκέκλεισται γὰρ ἡ θύρα». Καὶ εἰς τὸ κβ΄ τοῦ Ματθαίου, ἑρμηνεύων τὸ δήσαντες αὐτοῦ τὰς χεῖρας καὶ τοὺς πόδας, ἀντὶ τῶν πρακτικῶν τῆς ψυχῆς δυνάμεων, λέγει «ἐν τῷ αἰῶνι μὲν τῷ ἐνεστῶτι, ἔστι πρᾶξαι

καὶ ἐνεργῆσαί τι, ἐν δὲ τῷ μέλλοντι, δεσμοῦνται πᾶσαι αἱ πρακτικαὶ δυνάμεις τῆς ψυχῆς· καὶ οὐκ ἔστι ποιῆσαί τι ἀγαθὸν εἰς ἀντισήκωμα τῶν ἁμαρτιῶν. Καὶ εἰς τὸ κε΄ τοῦ αὐτοῦ Εὐαγγελίου· μεταμελείας γὰρ καὶ εὐεργεσίας καιρὸς οὐκ ἔστι μετὰ τὴν ἐνθένδε ἀποβίωσιν· ἀπὸ τὰ ὁποῖα λόγια γίνεται φανερόν, πῶς ὕστερα ἀπὸ τὸν θάνατον ἡ ψυχὴ δὲν ἠμπορεῖ νὰ ἐλευθερωθῇ ἢ νὰ μετανοήσῃ· καὶ νὰ κάμῃ τίποτες ἔργον ὅπου νὰ λυτρωθῇ ἀπὸ τῶν δεσμῶν τοῦ Ἅδου, μόνον αἱ θεῖαι λειτουργίαι, αἱ προσευχαὶ καὶ αἱ ἐλεημοσύναι ὅπου γίνονται δι' αὐτὴν ἀπὸ τοὺς ζῶντας, ἐκεῖνα τὴν ὠφελοῦσι πολλότατα καὶ ἀπὸ τὰ δεσμὰ τοῦ ᾅδου τὴν ἐλευθεροῦσιν».

Εἰς δὲ τὴν ξε΄ ἐρώτησιν· περὶ τοῦ τίνα γνώμην πρέπει νὰ ἔχωμεν διὰ τὰς ἐλεημοσύνας καὶ τὰς ἀγαθοεργίας τὰς διδομένας ὑπὲρ τῶν τεθνηκότων; ἀπαντᾷ ὡς ἑξῆς·

Ἀπόκρ. Περὶ τούτου ὁ ἴδιος Θεοφύλακτος διδάσκει εἰς τὸ ιβ΄. κεφ. στίχ. ε΄. τοῦ Λουκᾶ, ἐξηγῶντας τὸν λόγον τοῦ Χριστοῦ ὅπου εἶπεν. «Φοβήθητε τὸν ἐξουσίαν ἔχοντα ἐμβαλεῖν εἰς τὴν γέενναν»· γράφει οὕτως· ὅρα γὰρ ὅτι οὐκ εἶπε, «φοβήθητε τὸν μετὰ τὸ ἀποκτεῖναι βάλλοντα εἰς τὴν γέενναν, ἀλλ' ἐξουσίαν ἔχοντα βαλεῖν· οὐ γὰρ πάντως οἱ ἀποθνήσκοντες ἁμαρτωλοὶ βάλλονται εἰς τὴν γέενναν· ἀλλ' ἐν τῇ ἐξουσίᾳ κεῖται τοῦτο τοῦ Θεοῦ· ὥστε καὶ τὸ συγχωρεῖν· τοῦτο δὲ λέγω διὰ τὰς ἐπὶ τοῖς κεκοιμημένοις γινομένας προσφορὰς καὶ τὰς διαδόσεις· αἱ οὐ μικρὰ συντελοῦσι τοῖς καὶ ἐν ἁμαρτίαις βαρείαις ἀποθανοῦσιν· οὐ πάντως οὖν μετὰ τὸ ἀποκτεῖναι, βάλλει εἰς τὴν γέενναν· ἀλλ' ἐξουσίαν ἔχει βαλεῖν· μὴ τοίνυν ἐλλείψωμεν ἡμεῖς σπουδάζοντες δι' ἐλεημοσυνῶν καὶ πρεσβειῶν ἐξιλεοῦσθαι τὸν ἐξουσίαν μὲν ἔχοντα βαλεῖν, οὐ πάντως δὲ τῇ ἐξουσίᾳ ταύτῃ χρώμενον, ἀλλὰ καὶ συγχωρεῖν δυνάμενον· ἀπὸ τὴν διδασκαλίαν λοιπὸν τῆς ἁγίας Γραφῆς καὶ τοῦ Πατρὸς τούτου τὴν ἐξήγησιν, τοῦτο ἐξάγομεν, πῶς πρέπει πάντως νὰ παρακαλῶμεν διὰ τοὺς κεκοιμημένους καὶ νὰ προσφέρωμεν θυσίας ἀναιμάκτους, δίδοντες ἐλεημοσύνας, ἐπειδὴ ἐκεῖνοι δὲν ἠμποροῦσι τὰ τοιαῦτα νὰ κάμωσι διὰ τοὺς ἑαυτούς τους».

3. Ὁμολογία Δοσιθέου Πατριάρχου Ἱεροσολύμων.

Ὅρος 18.

«Πιστεύομεν τὰς τῶν κεκοιμημένων ψυχὰς εἶναι ἢ ἐν ἀνέσει ἢ

ἐν ὀδύνῃ, καθ' ὅ,τι ἕκαστος ἔπραξεν. Χωριζομένας γὰρ ἀπὸ σωμάτων παραυτίκα ἢ πρὸς εὐφροσύνην, ἢ πρὸς λύπην καὶ στεναγμὸν ἐκδημεῖν ὁμολογουμένης μέντοι μήτε τῆς ἀπολαύσεως μήτε τῆς κατακρίσεως τελείας. Μετὰ γὰρ τὴν κοινὴν ἀνάστασιν, ὅτε ἡ ψυχὴ ἑνωθείη τῷ σώματι, μεθ' οὗ καλῶς ἢ πονηρῶς ἐπολιτεύσατο, ἀπολήψεται ἕκαστος τὸ τέλειον, ἢ τῆς ἀπολαύσεως ἢ τῆς κατακρίσεως δηλονότι. Τοὺς δὲ συμφθαρέντας θανασίμοις πλημμελήμασι καὶ μὴ ἐν ἀπογνώσει ἀποδημήσαντας, ἀλλὰ μετανοήσαντας μὲν ἔτι περιόντας ἐν τῷ μετὰ σώματος βίῳ, μὴ ποιήσαντας δὲ οὐδ' ὅν τινα οὖν καρπὸν μετανοίας, ἐκχέαι δάκρυα δηλονότι καὶ γονυπετῆσαι ἐν γρηγορήσει προσευχῶν, θλιβῆναι, πτωχοὺς παραμυθῆσαι, καὶ τέως ἐν ἔργοις τὴν πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον ἀγάπην ἐπιδεῖξαι, τούτων καὶ αὐτῶν τὰς ψυχὰς ἀπέρχεσθαι εἰς τὸν ᾅδην καὶ ὑπομένειν τὴν ἕνεκα ὧν εἰργάσαντο ἁμαρτημάτων ποινήν· εἶναι δὲ ἐν συναισθήσει τῆς ἐκεῖθεν ἀπαλλαγῆς, ἐλευθεροῦσθαι δὲ ὑπὸ τῆς ἄκρας ἀγαθότητος διὰ τῆς δεήσεως τῶν ἱερέων, καὶ εὐποιῶν, ἃ τῶν ἀποιχομένων ἕνεκα οἱ ἑκάστου συγγενεῖς ἐπιτελοῦσι, μεγάλα δυναμένης μάλιστα τῆς ἀναιμάκτου θυσίας, ἰδίως ὑπὲρ τῶν κεκοιμημένων συγγενῶν ἕκαστος καὶ κοινῶς ὑπὲρ πάντων ἡ Καθολικὴ καὶ Ἀποστολικὴ ὁσημέραι ποιεῖ Ἐκκλησία. Ἐννοουμένου μέντοι καὶ τούτου τοῦ μὴ εἰδέναι ἡμᾶς δηλαδὴ τὸν καιρὸν τῆς ἀπαλλαγῆς. Ὅτι γὰρ γίνεται ἐλευθερία τῶν τοιούτων ἀπὸ τῶν δεινῶν καὶ πρὸ τῆς κοινῆς ἀναστάσεώς τε καὶ κρίσεως οἴδαμεν καὶ πιστεύομεν, πότε δὲ ἀγνοοῦμεν»[1].

§ ε'. Μαρτυρία ἐκ τῆς Διδασκαλίας τῆς Ἐκκλησίας.

Ἐν τῷ Ἐγχειριδίῳ τῆς Δογματικῆς Θεολογίας Μακαρίου τοῦ σοφωτάτου Μητροπολίτου Μόσχας ἐν παραγράφῳ 182, β'. φέρονται τὰ ἑξῆς·

«Περὶ τοῦ ὅτι δυνατὸν ἁμαρτωλοῖς τισι τυχεῖν ἀνακουφίσεως ἢ καὶ ἀπαλλαγῆς ἀπὸ τῶν τοῦ Ἅδου ποινῶν διὰ τῶν τῆς Ἐκκλησίας δεήσεων».

Διδάσκουσα ἡ Ὀρθόδοξος Ἐκκλησία, ὅτι ἅπαντες οἱ ἁμαρτωλοὶ

[1] Ἔκθεσις ὀρθοδόξου πίστεως τῆς ἐν Ἱεροσολύμοις Τοπικῆς Συνόδου ἐν ἔτει ᾳχοβ'. Ἴδε γράμματα ἁγιωτάτων Πατριαρχῶν.

ἀπάγονται ἀμέσως μετὰ θάνατον καὶ τὴν ἐπ' αὐτῶν μερικὴν κρίσιν, εἰς τὸν Ἅδην, τὸν τόπον τῆς λύπης καὶ τῶν ὀδυνῶν, ὁμολογεῖ ἐν ταὐτῷ καὶ τοῦτο, ὅτι ἁμαρτωλοῖς μετανοήσασι μὲν πρὸ τῆς τοῦ βίου τούτου ἀπαλλαγῆς, μὴ προλαβοῦσι δὲ ἀπενεγκεῖν ἀξίους τῆς μετανοίας καρποὺς (οἷον προσευχήν, καρδίας συντριβήν, πτωχῶν παραμυθίαν καὶ ἐκδήλωσιν ἐν ἔργοις τῆς πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον ἀγάπης) ἐναπομένει ἔτι τρόπος, ὅπως τύχωσιν ἀνακουφίσεως τῶν βασάνων ἢ καὶ πλήρους καθ' ὅλου ἀπαλλαγῆς ἀπὸ τῶν τοῦ Ἅδου δεσμῶν· τῆς τοιαύτης δὲ ἀνακουφίσεως ἢ ἀπαλλαγῆς δύνανται τυχεῖν οἱ ἁμαρτωλοὶ οὐχὶ ἐξ οἱασδήποτε εὐποιΐας ἢ μετανοίας αὐτῶν (διότι μετὰ τὸν θάνατον καὶ τὴν μερικὴν κρίσιν οὐκέτι μετάνοια οὐδὲ μισθαποδοσία), ἀλλ' ἐκ μόνης τῆς ἀπείρου τοῦ Θεοῦ εὐσλαγχνίας, διὰ τῶν τῆς Ἐκκλησίας δεήσεων, καὶ διὰ τῶν ἀγαθοεργιῶν, ἃς οἱ ἐπιζῶντες ἐπιτελοῦσι χάριν τῶν τεθνεώτων, καὶ ἰδιαίτατα διὰ τῆς δυνάμεως τῆς ἀναιμάκτου θυσίας, ἣν ὁ μὲν λειτουργὸς δύναται τελεῖν ἰδίᾳ καὶ ὑπὲρ τῶν κεκοιμημένων συγγενῶν ἑκάστου αἰτουμένου αὐτὴν χριστιανοῦ, ἡ δὲ Καθολικὴ Ἀποστολικὴ τελεῖ καθ' ἡμέραν ὑπὲρ πάντων γενικῶς». (Ὀρθοδοξ. ὁμολογ. μ΄. α΄., ἀπόκρισ. εἰς τὴν ἐρώτ. ξδ΄. καὶ ξε΄. — Ἐπιστολ. Πατρ, Ἀναστ. περὶ τῆς Ὀρθοδοξ. Πίστ. ὅρος ιη΄.).

Ἡ διδασκαλία αὕτη τῆς Ἐκκλησίας ἐρείδεται ἐπὶ τῆς Ἁγίας Γραφῆς. Ἐν αὐτῇ δῆλα δή

1) Δίδοται ἡμῖν ἡ ἐντολὴ «εὔχεσθαι ὑπὲρ ἀλλήλων» (Ἰακώβ· 5 : 16), «ποιεῖσθαι δεήσεις ὑπὲρ πάντων ἀνθρώπων») (1η Τιμ. 2 : 1), (πρβ. καὶ Ἐφεσ. 6 : 18, 19), καὶ ταῦτα ἄνευ τινὸς καθορισμοῦ οὔτε τοῦ τόπου, οὔτε τοῦ χρόνου, οὔτε τῶν περιστατικῶν. Ἐκ τούτων ἄρα ὀφείλομεν προσεύχεσθαι ὑπὲρ τοῦ πλησίον ἡμῶν, καὶ ὅτε ἐν ἡμῖν πάρεστι καὶ ὅτε ἄπεστι, καὶ ὅτε ζῇ ἐπὶ τῆς γῆς, καὶ ὅτε διὰ τοῦ θανάτου εἰς τὴν ἑτέραν μεθίσταται ζωήν. «Ἐάν τε γὰρ ζῶμεν, τῷ Κυρίῳ ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν τῷ Κυρίῳ ἀποθνήσκομεν» (Ρωμ. 14 : 8), οἱ δὲ τεθνεῶτες, ὥσπερ καὶ οἱ ζῶντες, αὐτῷ (τῷ Κυρίῳ) ζῶσι». (Λουκ. 20 : 38).

2) Ἀλλ' ἐξ ἑτέρου πρὸς προφύλαξιν ἡμῶν ἀπὸ δυσαρέστου τῷ Θεῷ εὐχῆς ὑπὲρ τῶν πλησίον, καὶ ἀνωφελοῦς αὐτοῖς δίδοται ἡμῖν ἑτέρα ἐντολή, ἥ δε· «Ἐάν τις ἴδῃ τὸν ἀδελφὸν αὐτοῦ ἁμαρτάνοντα ἁμαρτίαν μὴ πρὸς θάνατον, αἰτήσει καὶ δώσει αὐτῷ ζωὴν τοῖς ἁμαρ-

